Jahre (Dat.) aber ist diese Stadt zerstört (aufgelöst) worden. 16. O Knabe, ahme die guten Werke deiner (der) Eltern nach. 17. Liebet die Menschen, damit (ἵνα mit Coni.) ihr von Gott geliebt werdet. 18. Nach (κατά mit Acc.) den Gesetzen des Lykurgos wurde derjenige, welcher Silber oder Gold hatte, bestraft. 19. Bei (παρά mit Dat.) den Persern wurden die dem Könige Widersprechenden (Widerstrebenden) gegeißelt. 20. Die Reichen werden oft von den Armen beneidet. 21. Wenn du mit Schlechten (Dat.) umgehst, werden die Menschen glauben, daß du selbst schlecht seiest. 22. In Lakedämon wurden die Greise am meisten (μάλιστα) geehrt. 23. Gehet um mit den Weisen, ahmet das Gute nach, und die Menschen werden euch immer ehren und lieben. 24. Als (ὅτε) die Schiffe der Athener gegen (ἐπί mit Acc.) Syrakus segelten (schifften), kam das salaminische Schiff, welches dem Alcibiades befahl nach Hause (οἴκαδε) zu schiffen, damit (ἵνα) er, von seinen Mitbürgern der Gottlosigkeit angeklagt (κατηγορεῖν) sich verteidige (ἀπολογεῖσθαι Opt. Aor.).

8.

1. Die Barbaren, in vielen Schlachten besiegt, wurden von den Griechen verachtet. 2. Jedes Land wird am meisten geschmückt durch wohlhabende (glückliche) Städte. 3. Wenn du zu Felde ziehst (Part.), fürchte nicht (μή) die Schlacht, damit dich nicht (ἵνα μή mit Coni.) deine (die) Mitbürger (Bürger) für feige halten (glauben). 4. Niemals (μήποτε) mache (Med.) den feigen Mann zum Gefährten. 5. Verachte nicht (μή) die Freunde, welche Unrecht thun, sondern versuche, sie besser zu machen. 6. Thörichte Menschen halten (glauben) den Reichtum für schätzbarer (geehrter) als die Tugend. 7. Der treue Freund betrübt (kränkt) sich, wenn sein (der) Freund gestorben ist (Gen. abs.), und möchte ihm das Leben für (Gen.) alle Schätze (Sachen) kaufen (Opt. mit ἄν). 8. Die Ärzte heilen nicht alle Kranken (νοσέω). 9. Der Jüngling ahme die schönen Thaten der Väter nach. 10. Die Soldaten hatten hinreichendes Getreide, welches sie auf dem Markte gekauft hatten. 11. Sokrates sagte (ἔφη), es sei besser Unrecht leiden als Unrecht thun. 12. Nicht mit Recht (δικαίως) beschuldigst du den Vater, die Bildung (Gen.) der Kinder vernachlässigt zu haben (Perf.). 13. Der Feldherr fragte, nachdem (Part.) er die Gesandten begrüßt hatte, ob (εἰ) sie Krieg oder Frieden brächten (Opt.). 14. Die Feinde

versuchten des Nachts den Römern (Acc.) Schaden zu thun. 15. Die Perser wichen aus Griechenland zurück, zu Land und zu Wasser (Meer) besiegt. 16. Du wirst dir gute Freunde erwerben, wenn (ἐάν) du andern zu Hilfe eilst (Coni. Aor.). 17. Erwerbet euch treue und brauchbare Freunde, welche euch in Gefahren zu Hilfe eilen. 18. Was ist bewundernswert an (in) dem Manne, den du wie (ὡς) einen Gott anschaust (zuschaust)? 19. Wenn ein Teil des Körpers krank ist (Gen. abs.), sind oft auch die andern Teile krank; der Arzt heile also (οὖν) nicht den einen allein, sondern beachte (spähe), den einen heilend, auch die übrigen (andern). 20. Wenn du den Guten widerstrebst (Part.), bist du (εἶ) wert, gestraft zu werden. 21. Als Lykurg gefragt wurde (L. gefragt), warum (διὰ τί) die Lacedämonier (nur) wenige Gesetze hätten (haben), sagte: diejenigen, welche nicht (μή) viele Worte gebrauchen, bedürfen auch nicht (οὐδέ) vieler Gesetze.

Abweichende Formation der Verba pura auf άω, έω, όω, ύω.

1. Die Diener der 30 (Tyrannen) zogen den Theramenes von (ἀπό) dem Altar, damit (ἵνα) er zum (ἐπί c. Acc.) Tode geführt werde (Opt.). 2. Groß war der Ruhm des Perikles, welcher in seiner (der) Vaterstadt viele und schöne Werke vollendet hat. 3. Die von den Altären gezogenen Schutzflehenden setzten (hatten) ihre Hoffnung (Plur.) auf Rettung auf (ἐπί mit Dat.) die Hilfe der Götter, welche sie in den Tempel fliehend angefleht hatten. 4. Als Agesilaus gehört hatte, daß die Feinde, den Zorn der Götter nicht scheuend (Aor.), den Vertrag gebrochen (gelöst) hätten, sagte er: Ich aber werde die Götter scheuen, und der Sieg wird auf unserer Seite (unser) sein (ἔσται). 5. Lachet (Coni. Aor.) nicht (μή), ihr Knaben, über (Dat.) das Unglück (die Übel) anderer. 6. Vielen Soldaten (der S.) sind in der Schlacht die Schenkel zerbrochen (gebrochen) und die Leiber zerquetscht (gequetscht) worden. 7. In den Dörfern war viel Brot (Plur.), da (Gen. abs.) das Getreide bereits (ἤδη) gemahlen war (Perf.). 8. Von Ninus, dem ersten König der Assyrier, sind große Werke vollendet worden. 9. Zittert (Coni. Aor.) nicht, ihr Soldaten, wenn (ὅταν) ihr das Schlachtgeschrei (Geschrei) der Feinde höret (Coni. Aor.); denn tapfere

Männer werden niemals (*οὔποτε*) in der Schlacht zittern. 10. Die Äcker sind gepflügt worden, damit (*ἵνα*) sie gute Früchte tragen (Coni.). 11. Nachdem (Part.) der Anführer die Soldaten zur (*εἰς*) Versammlung berufen (gerufen) hatte, gedachte er ihrer früheren Thaten und riet ihnen, auch in dieser Gefahr den Göttern zu vertrauen. 12. Durch die Anstrengung der Menschen ist vieles vollbracht worden, was zu vollbringen (Aor.) vielen unmöglich schien (*φαίνομαι*). 13. In Attika befanden sich (waren) die laurischen Bergwerke (*μέταλλον*), aus welchen die Athener großen Reichtum geschöpft haben. 14. Auf (*ἐπί* mit Dat.) den polierten (geschabten Perf.) Tischen der Reichen befinden sich oft viele sehr kostbare Sachen, dergleichen (wie beschaffene) die Armen nicht haben. 15. Als (Gen. abs.) das Feuer geschürt worden war (*σκαλεύειν*), fing das Wasser nach (*μετά* mit Acc.) kurzer Zeit zu sieden an (siedete Aor.). 16. Als (Part.) die Athener gehört hatten, daß die Perser gegen (*ἐπί* mit Acc.) die Griechen zu Felde zögen, besserten (heilten) sie auf den Rat des Themistokles (da Th. geraten hatte) in kurzer Zeit die Schiffe aus. 17. Nachdem schon viele gestorben waren, ließ die heftige (schwierige) Krankheit nach. Den Ärzten genügte es aber nicht, die Krankheit zu heilen, sondern sie überlegten auch bei sich, was die Ursache (*αἴτιον*) der Krankheit sei (*εἴη*).

Zusammenhängende Lesestücke.

Ὁ τῶν Ἀργοναυτῶν στόλος.

1.

Ἰάσων, ὁ τοῦ Αἴσονος (υἱός), ὃν Πελίας ὁ ἀδελφὸς τῆς ἐν Θεσσαλίᾳ ἀρχῆς ἐστέρησε [1], ῥώμῃ τε σώματος καὶ ψυχῆς λαμπρότητι πάντων τῶν νέων διαφέρων [2] ἐπεθύμησε [3] ποιεῖν τι μνήμης ἄξιον. Ὁ δὲ Πελίας διὰ μαντείαν τινὰ φοβούμενος, μὴ (daß) ὑπ᾽ αὐτοῦ στερηθείη τῆς βασιλείας, ἐκέλευσεν αὐτὸν πλέοντα εἰς τὴν Κολχίδα ἐπὶ τὸ χρυσόμαλλον [4] δέρμα δεινὸν ἀγῶνα ποιήσασθαι. Περὶ δὲ τούτου τοῦ δέρματος τάδε μνημονεύεται.

---

1) *στερέω* berauben. 2) *διαφέρω τινος* sich auszeichnen vor einem. 3) *ἐπιθυμέω* begehren. 4) golden.

Φρίξος δ' Ἀθάμαντος διὰ τὰς τῆς μητρυιᾶς [5] ἐπιβουλὰς σὺν τῇ ἀδελφῇ Ἕλλῃ ἀνεχώρησεν ἐκ τῆς Ἑλλάδος. Περώντων δ' αὐτῶν ἐκ τῆς Εὐρώπης εἰς Ἀσίαν ἐπὶ κριοῦ [6] χρυσομάλλου, ἡ μὲν παρθένος ἀπὸ τοῦ κριοῦ καταφέρεται [7] εἰς τὴν θάλασσαν, ἣ ἀπ' ἐκείνης Ἑλλήςποντος καλεῖται, ὁ δὲ Φρίξος εἰς τὴν Κολχίδα πορευθεὶς κατὰ μαντείαν τινὰ τὸν κριὸν ἔθυσε καὶ τὸ δέρμα αὐτοῦ τῷ Ἄρει ἱερὸν ἐποίησεν.

2.

Μετὰ δὲ ταῦτα Αἰήτῃ, τῷ τῆς Κολχίδος βασιλεύοντι, μαντεία ἔλεγεν, ὅτι τελευτήσει, ὅταν ξένοι τὸ χρυσόμαλλον δέρμα κτήσωνται. Ἰάσων οὖν, τοῦτον τὸν ἀγῶνα δεινὸν μέν, οὐκ ἀδύνατον δὲ ἡγούμενος, πᾶσαν ἐπιμέλειαν τῶν δεόντων ἐποιεῖτο. Καὶ πρῶτον μὲν ναῦν ἐναυπηγήσατο [1], ἣ Ἀργὼ προςηγορεύθη [2] ἀπὸ Ἄργου τοῦ ναυπηγησαμένου αὐτήν, μετὰ δὲ τοῦτο συνεκάλεσε τοὺς ἀνδρειοτάτους ἄνδρας τῆς Ἑλλάδος, ὥστε [3] μετέχειν [4] τῆς στρατείας. Ἕτοιμοι δ' ἦσαν πολλοὶ σὺν αὐτῷ πλεῖν, ὧν λαμπρότατοι ἦσαν Κάστωρ καὶ Πολυδεύκης, πρὸς δὲ τούτοις καὶ Ἡρακλῆς καὶ Τελαμὼν καὶ Ὀρφεὺς καὶ πολλοὶ ἄλλοι. Ἐπεὶ δὲ εἰς τὴν Κολχίδα ἧκον [5], Ἰάσων τὰ [6] παρὰ τοῦ Πελίου λέγων τὸν Αἰήτην τὸ δέρμα ᾔτησεν. Ὁ δὲ ἐκέλευσεν αὐτὸν πρότερον δύο ἀγρίους ταύρους, οἳ χαλκοῦς πόδας εἶχον καὶ πῦρ ἐκ τῶν στομάτων ἐφύσων [7], ὑπὸ ζυγὸν [8] ἄγειν καὶ ἀγρόν τινα ἀροῦν, μετὰ δὲ ταῦτα φυτεύειν δράκοντος ὀδόντας.

3.

Ἀποροῦντος [1] δὲ τοῦ Ἰάσονος, τίνι τρόπῳ ἂν δύναιτο τοῦτο ποιεῖν, Μήδεια, ἡ τοῦ Αἰήτου θυγάτηρ, ἐρωμένη [2] αὐτοῦ ὡμολόγησε συνεργήσειν [3] αὐτῷ καὶ φάρμακον αὐτῷ δωρησαμένη ἐκέλευσε τούτῳ χρῖσαι τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τοῦτο γὰρ ποιήσαντα οὔτε ὑπὸ πυρὸς ἀδικηθήσεσθαι οὔτε ὑπὸ χαλκοῦ. Ἐδήλωσε δὲ καὶ αὐτῷ, φυτευθέντων τῶν ὀδόντων ἄνδρας ὅπλοις

---

5) Stiefmutter. 6) Widder. 7) herabfallen.

1) ναυπηγέομαι ein Schiff bauen. 2) benennen. 3) um zu. 4) teilnehmen. 5) ἥκω ich bin gekommen. 6) die Aufträge des Pelias. 7) φυσάω schnauben. 8) ζυγὸν das Joch.

1) ἀπορέω in Verlegenheit sein. 2) ἐράομαί τινος sich in jemand verlieben. 3) συνεργέω helfen.

κεκοσμημένους ἐκ τῆς γῆς ἀναδύσεσθαι[4] ἐπ᾽ αὐτόν. Ἐπειδὰν δὲ αὐτοὺς ἀθρόους[5] θεάσηται, ἐκέλευσεν αὐτὸν εἰς μέσον βάλλειν[6] λίθους, ὅταν δὲ μάχην ποιῶνται πρὸς ἀλλήλους, τότε αὐτοὺς φονεύειν. Τελέσαντος δὲ τοῦ Ἰάσονος τούτους τοὺς ἀγῶνας, ὁ Αἰήτης ὅμως[7] τὸ δέρμα δωρεῖσθαι αὐτῷ οὐκ ἐβούλετο, ἀλλ᾽ ἡ Μήδεια κρύφα[8] τῷ Ἰάσονι πρὸς τὸ δέρμα ἡγήσατο καὶ τὸν δράκοντα, ὃς τὸ δέρμα ἐν φυλακῇ εἶχε, φαρμάκοις κοιμήσασα[9] καιρὸν παρεῖχεν[10] αὐτὸ κτήσασθαι. Κτησάμενος δὲ αὐτὸ ὁ Ἰάσων εὐθὺς[11] μετὰ τῆς Μηδείας εἰς τὴν Ἑλλάδα ἀπέπλει.

Neunter Abschnitt.

Verba muta.

1.

1. Ξέρξης ὁ δεύτερος ἐτελεύτησε, πέντε καὶ τεσσαράκοντα ἡμέρας ἄρξας. 2. Τὸν Σωκράτη διὰ τὴν σοφίαν ἀεὶ τεθαυμάκαμεν. 3. Ὁ Πλάτων λέγει, τρεῖς στρατείας στρατεύσασθαι Σωκράτη, τὴν μὲν εἰς Ποτίδαιαν, τὴν δὲ εἰς Ἀμφίπολιν, τὴν δὲ εἰς Βοιωτούς. 4. Τίς οὐκ ἂν μᾶλλον (mehr) περὶ τῆς σοφίας σπουδάσειεν ἢ περὶ πλούτου καὶ τιμῆς; 5. Τίς οὐκ ἂν θαυμάσειε τὰς τῶν Λακεδαιμονίων ἀρετάς; 6. Ὡς (wie) τὰ σώματα σιτίοις, οὕτως (so) αἱ ψυχαὶ σοφοῖς λόγοις τρέφονται. 7. Νῖνος, ὁ τῆς Ἀσσυρίας βασιλεύς, πόλιν ᾤκισε καὶ ἀφ᾽ ἑαυτοῦ Νῖνον ὠνόμασεν. 8. Εὐαγόρας, ὁ τῆς Κύπρου βασιλεύς, πολλὰς ναῦς ἤθροισεν, Ἀρταξέρξῃ πολεμήσων. 9. Ἄρχεσθε πάντα ἀπὸ τοῦ θεοῦ. 10. Ὁ τοῖς μωροῖς πιστεύσας αὐτὸς μωρὸς νομισθήσεται. 11. Προῖτος, ὁ τῆς Τίρυνθος βασιλεύς, ἐκέλευσε τὸν Βελλεροφόντην κομίσαι ἐπιστολὴν πρὸς (zu) Ἰοβάτην, τὸν τῆς Λυκίας βασιλέα, ἐν ᾗ ἐγέγραπτο· ὦ βασιλεῦ, μὴ ὀκνήσῃς Βελλεροφόντην φονεῦσαι. 12. Τὰ ὀνόματα τῶν τὴν πατρίδα σωσάντων εἰς στήλην ἐγέγραπτο. 13. Τῶν νεανιῶν καὶ τῶν ἀνδρῶν στρατευσαμένων (Gen. abs.), οἱ

4) ἀναδύομαι hervorkommen. 5) ἀθρόος versammelt. 6) werfen. 7) dennoch. 8) heimlich. 9) einschläfern. 10) darbieten. 11) sogleich.

γέροντες τὴν πόλιν ἐπεφυλάχεσαν. 14. Οἱ τὴν ἀρετὴν σπουδάσαντες πάντα καλῶς πράξουσιν. 15. Οὐ τείχεσιν, ἀλλὰ τῇ τῶν πολιτῶν ἀρετῇ Λυκοῦργος τὴν Σπάρτην ἐτείχισεν. 16. Δημοσθένης ἔπεισε τοὺς Ἀθηναίους τοῖς Ὀλυνθίοις βοηθεῖν καὶ σώζειν τὰς πόλεις. 17. Πυθαγόρας πρῶτος ἑαυτὸν φιλόσοφον ὠνόμασεν, οἱ δὲ παλαιότεροι ὠνομάζοντο σοφοί. 18. Ματαίαις ἐλπίσι πεισθεὶς ὁ Ξέρξης μέγα μέρος τῆς στρατιᾶς ἐν τῇ Ἑλλάδι ἔλιπεν. 19. Οἱ παῖδες γυμναζέσθων· ἄνδρες γὰρ ὄντες (seiend) οὐ γυμνασθήσονται. 20. Τὸ πῦρ ὑπὸ τῶν Περσῶν δαίμων ἐνενόμιστο.

2.

1. Θουκυδίδης λέγει, τὰς παλαιὰς πόλεις διὰ τὴν λῃστείαν ἀπὸ (fern von) τῆς θαλάσσης οἰκισθῆναι. 2. Θεμιστοκλῆς βασιλεῖ ἐπιστολὴν ἔπεμψεν, ἐν ᾗ ἐγέγραπτο· Ἐγὼ, ὁ Θεμιστοκλῆς, ὃς μάλιστα (am meisten) τῶν Ἑλλήνων τὴν ὑμετέραν οἰκίαν ἔβλαψα, πρὸς (zu) σὲ ἐπορεύθην, τοὺς Πέρσας ὠφελήσων. 3. Λέξαντός τινος, ὡς (daß) ἀεὶ τοὺς φιλοσόφους παρὰ ταῖς τῶν πλουσίων θύραις βλέποι, Ἀρίστιππος ἔλεξε· Καὶ τοὺς ἰατροὺς ἀεὶ παρὰ ταῖς τῶν νοσούντων θύραις βλέπεις. 4. Ὡς (wie) Θεμιστοκλῆς καὶ Ἀριστείδης, οὕτω (so) Περικλῆς καὶ Κίμων περὶ (über) τῶν κοινῶν πραγμάτων ἠρισάτην. 5. Δημοσθένης ἔπεισε τοὺς Ἀθηναίους πρέσβεις πέμψαι πρὸς βασιλέα, ἵνα πείσειαν αὐτὸν Φιλίππῳ, τῷ τῶν Μακεδόνων βασιλεῖ, πολεμῆσαι. 6. Θεμιστοκλῆς ἔπεισε τοὺς Ἀθηναίους ἐκ τῶν χρημάτων τῶν ἀπὸ τῶν ἀργυρείων (Silbergrube) τῶν Λαυριωτικῶν κατασκευάσασθαι ναῦς ἐπὶ (zu) τὸν πρὸς Αἰγινήτας πόλεμον. 7. Τὸν ἐν τῇ Κρήτῃ Λαβύρινθον κατεσκευάκει Δαίδαλος. 8. Μέγιστόν ἐστι τὸ πλῆθος τῶν τῆς Μιλήτου ἀποικιῶν· ὅ τε γὰρ Εὔξεινος πόντος ὑπὸ τῶν Μιλησίων κατῴκισται καὶ ἡ Προποντὶς καὶ ἄλλοι τόποι. 9. Τὴν ἀρχὴν (anfangs) τὸ πῦρ οὐκ ἦν ἐπὶ τῇ γῇ· ὁ δὲ Προμηθεὺς αὐτὸ ἐκ τοῦ οὐρανοῦ κλέψας τοῖς ἀνθρώποις ἐκόμισεν. 10. Ὑπὸ τῶν Μιλησίων πολλαὶ ἀποικίαι ᾠκισμέναι εἰσίν. 11. Κῦρος ἐν Σάρδεσι μέγα στράτευμα ἤθροισεν, ἐπὶ τὸν ἀδελφὸν στρατευσόμενος. 12. Πελίαν, τὸν Ποσειδῶνος καὶ Τυροῦς υἱόν, ἵππος ἔθρειψεν. 13. Πολλάκις ἐθαύμασα, τίσι λόγοις οἱ γραψάμενοι (med. anklagen) Σωκράτη ἔπεισαν τοὺς Ἀθηναίους, ὡς (daß) ἄξιος εἴη θανάτου.

3.

1. *Οἱ παῖδες τῶν Περσῶν ἐπαιδεύοντο ἀεὶ τὸ ἀληθὲς λέγειν· τὸ γὰρ ψεύδεσθαι αἴσχιστον ἐνομίζετο.* 2. *Κῦρος ὁ νεώτερος, ἐν φυλακῇ βασιλέως ἦν· ἀπολυθεὶς δὲ καὶ ὑπὸ τῆς μητρὸς σωθεὶς ἐπὶ* (gegen) *τὸν ἀδελφὸν στρατεύεσθαι ἐβουλεύσατο. Ὡς* (als) *δὲ ἐπὶ τὸν ἀδελφὸν ἐστρατεύετο, Κλέαρχον, ὃς τοῖς Θρᾳξὶν ἐπολέμησεν, ἐκ τῆς Θρᾴκης μετεπέμψατο.* 3. *Οἱ Ἀθηναῖοι ἐν τοῖς Μηδικοῖς* (*πολέμοις*) *πολλὰ καὶ καλὰ ἔπραξαν.* 4. *Τοῦτο κάλλιστον λέγεται καὶ λελέξεται, πάντων τῶν κτημάτων βέλτιστον εἶναι τὴν ἀρετήν.* 5. *Σωκράτης, τῶν ἑταίρων βουλομένων αὐτὸν ἀπολῦσαι τῶν δεσμῶν, οὐχ εἵπετο.* 6. *Ζεὺς τὸν Ἑρμῆν ἔπεμψε πρὸς τὴν Καλυψῶ, κελεύσοντα ἀποπέμψαι τὸν Ὀδυσσέα εἰς Ἰθάκην.* 7. *Καλῶς πράξεις, ἐὰν τὸν θεὸν θεραπεύσῃς καὶ τοὺς γονέας τιμήσῃς.* 8. *Ἡρόδοτος ἀναγέγραφε πάντα τὰ ἔθνη, ἃ σὺν Ξέρξῃ ἐστρατεύσαντο, καὶ τοὺς στρατηγούς, οἳ αὐτὰ ἔταξαν.* 9. *Μὴ νομίσῃς, ὦ μωρέ, διὰ* (wegen) *τὸν πλοῦτον ἐν δόξῃ εἶναι παρ' ἄλλοις.* 10. *Πλάτων, ὀργισθείς ποτέ* (einstmals) *τινι τῶν δούλων, ἐκέλευσεν αὐτὸν χάριν ἔχειν τοῖς θεοῖς, ὅτι* (daß) *ὀργίζεται· κολασθῆναι γὰρ ἄν, εἰ μὴ ὠργίζετο.* 11. *Τὸν Θεμιστοκλέα οἱ Ἀθηναῖοι ἔπεμψαν μετὰ* (mit) *νεῶν ἐπ'* (nach) *Ἀρτεμίσιον, τὰ στενὰ φυλάξοντα.* 12. *Ζεὺς δεινότατα ἐκόλασε τὸν Προμηθέα, ὃς κλέψας τὸ πῦρ ἐκόμισεν εἰς τοὺς ἀνθρώπους.* 13. *Μὴ δικάσῃς, ὦ δικαστά, πρὶν* (bevor) *ἂν τὸν λόγον ἀμφοῖν ἀκούσῃς.* 14. *Οἱ Ἀθηναῖοι πολὺν χρόνον ἐσπουδάκασι ταῖς τῆς Ἀσίας νήσοις τὴν ἐλευθερίαν πρᾶξαι.* 15. *Οἱ Λακεδαιμόνιοι ἀκούσαντες, τὰς Ἀθήνας τειχίζεσθαι, ἔπεμψαν πρέσβεις, κωλύσοντας τὴν πόλιν μὴ τειχίζεσθαι.*

4.

1. *Θρασύβουλος καὶ οἱ σὺν αὐτῷ νυκτὸς τοὺς τῶν τριάκοντα ἱππέας τρεψάμενοι ἐδίωξαν ἓξ ἢ ἑπτὰ στάδια.* 2. *Οἱ πολέμιοι, τῆς τοῦ ποταμοῦ διαβάσεως διὰ* (wegen) *τὸ βάθος αὐτοῦ κωλυθέντες, μεγάλους λίθους εἰς τὸν ποταμὸν ἔρριπτον· ἀρξαμένων δέ τινων τῆς διαβάσεως, οἱ ἄλλοι εἵποντο.* 3. *Ὁ Δημοσθένης ἔλεγε, Φίλιππον βασιλεῖ φοβερώτερον εἶναι ἢ τοῖς Ἀθηναίοις, ὥστε* (so daß) *τοὺς πολίτας ἔπειθε πρέσβεις πέμψαι πρὸς βασιλέα, συμβουλεύσοντας αὐτῷ τοῖς Μακεδόσι πολεμεῖν.* 4. *Θεμιστοκλῆς ἔπεισε τοὺς Ἀθηναίους κατασκευάσασθαι ναῦς ἐπὶ τὸν πρὸς Αἰγινήτας*

πόλεμον. 5. Ἐν Πασαργάδαις τάφος ἦν Κύρου, τοῦ πρώτου Περσῶν βασιλέως, ἐν ᾧ τάδε ἐπεγέγραπτο· Ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι, ὃς τὴν ἀρχὴν τοῖς Πέρσαις κατεσκεύασα καὶ τῆς Ἀσίας ἦρξα· μὴ οὖν (daher) ταράξῃς μοι τὸν τάφον. 6. Ἐν τοῖς Δράκοντος νόμοις μία τιμωρία πᾶσι τοῖς ἀδικοῦσιν ὥριστο, θάνατος, ὥστε (so daß) διὰ αἵματος γεγράφθαι λέγονται. 7. Οἱ ἐν ᾅδου δικασταὶ τοὺς μὲν ἀγαθοὺς καὶ δικαίους τῶν ἀνθρώπων ἔπεμπον εἰς τὸ Ἠλύσιον πεδίον, ὡς (damit) τὸν ἄριστον βίον βιοτεύσειαν, τοὺς δὲ κακοὺς εἰς τὸ τῶν ἀσεβῶν χωρίον, ὡς κολασθεῖεν διὰ τὰς ἀδικίας. 8. Ἀγησίλαος, ὅτε (als) οἱ ἔφοροι αὐτὸν μετεπέμψαντο ἐκ τῆς Ἀσίας, ἐπορεύθη διὰ (durch) τῆς Θρᾴκης εἰς τὴν Μακεδονίαν καὶ πέμψας πρὸς τὸν τῶν Μακεδόνων βασιλέα ἠρώτησε, πότερον (ob) πορεύηται (m. solle) διὰ τῆς χώρας ὡς (wie) φιλίας ἢ (oder) ὡς πολεμίας. Ἐκείνου δὲ φράσαντος βουλεύσεσθαι, ὁ Ἀγησίλαος ἔλεξε· Βουλευέσθω τοίνυν (also), ἡμεῖς δὲ πορευσόμεθα. Θαυμάσας οὖν τὸ θάρσος ὁ βασιλεὺς ἐδέξατο αὐτὸν ὡς φίλον.

5.

1. Εἴ τις λέγοι μὲν τὰ ἄριστα, πράττοι δὲ τὰ κάλλιστα, δικαίως οἱ ἄνθρωποι νομίζοιεν ἂν αὐτὸν ἄνδρα καλὸν καὶ ἀγαθόν. 2. Τῶν Ἀράβων τινὲς ἀποκτείνουσι τοὺς ἐλέφαντας οἰστοῖς χολῇ (Galle) τῶν ὄφεων βεβαμμένοις. 3. Εὐρυσθεὺς τῷ Ἡρακλεῖ ἄλλους τε πόνους ἐπέταξε καὶ τὸ τὰς Στυμφαλίδας ὄρνιθας ἐκδιῶξαι (verjagen). 4. Ἀρίονα, εἰς τὴν θάλασσαν ἑαυτὸν ῥίψαντα, οἱ δελφῖνες πρὸς (an) τὴν γῆν ἐκόμισαν. 5. Θεμιστοκλῆς καὶ Ἀριστείδης πολλὰ καὶ καλὰ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ ἐπραξάσθην. 6. Λόγισαι πρὸ (vor) τοῦ ἔργου· τὸ δὲ ἔργον ἄρξαι ἀπὸ (mit) τοῦ θεοῦ. 7. Ἀπόλλων, καταδικασθεὶς ἐπὶ (wegen) τῷ τῶν Κυκλώπων θανάτῳ καὶ ἐκ τοῦ οὐρανοῦ πεμφθεὶς εἰς τὴν γῆν, ἐν τῇ Θετταλίᾳ Ἀδμήτου καὶ ἐν τῇ Φρυγίᾳ Λαομέδοντος ὑπηρέτης ἦν. 8. Ἀλέξανδρος, Δαρεῖον νικήσας, ἐπέταξε τοῖς Ἕλλησι ψηφίσασθαι, Ἀλέξανδρον θεὸν εἶναι. 9. Ὁ στρατηγὸς μέμψεται τοὺς ἐφ᾽ ἁρπαγὴν τρεπομένους στρατιώτας. 10. Ὁ Κῦρος σὺν τοῖς ἑξακοσίοις ἱππεῦσιν ἐνίκησε τοὺς πρὸ (vor) βασιλέως τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους, καὶ ὑπὸ τῆς χειρὸς αὐτοῦ τελευτῆσαι λέγεται Ἀρταγέρσης, ὁ ἡγεμὼν αὐτῶν. 11. Ὁ βασιλεύς, τοὺς τῶν πολεμίων πρέσβεις ἀσπασάμενος, τὰς σπονδὰς

ἐσπείσατο, ἃς σπείσεσθαι αὐτοῖς ἔφρασεν. 12. Πολλοὶ τῶν Ἑλλήνων, τὸ στάδιον (in der Rennbahn) ἀγωνισάμενοι, στεφάνοις ἐστεφάνωντο. 13. Οἱ Κλεάρχου στρατιῶται, ψηφισάμενοι εἰς τὴν Ἑλλάδα πορεύεσθαι, σιτία ἠγοράζοντο· ἡ δὲ ἀγορὰ ἦν ἐν τῷ βαρβαρικῷ στρατεύματι. 14. Μηδεὶς τῶν ἀνθρώπων σε πείσῃ, κακὸν ἄνδρα τιμῆσαι.

6.

1. Ὅσα (alles, was) ἐν τῇ Κύρου ἀναβάσει ἐγένετο (geschehen ist) μέχρι (bis zu) τῆς μάχης, καὶ ὅσα ἐγένετο μετὰ τὴν μάχην ἐν (während) ταῖς σπονδαῖς, ἃς βασιλεὺς καὶ οἱ σὺν Κύρῳ Ἕλληνες ἐσπείσαντο, καὶ ὅσα, λύσαντος τὰς σπονδὰς βασιλέως καὶ Τισσαφέρνους, ἐπολεμήθη πρὸς τοὺς Ἕλληνας, ἐν τῷ Ξενοφῶντος λόγῳ δεδήλωται. 2. Οἱ πολέμιοι σφενδονῶντες καὶ ἀκοντίζοντες τοὺς Ἕλληνας ἠνάγκασαν τὸν λόφον καταλείπειν· τοῖς δὲ Ἕλλησιν οἱ ἱππεῖς ἐβοήθησαν, ἄλλων συμμάχων οὐκ ὑπαρχόντων (Gen. abs.). 3. Οἱ Ἕλληνες τὴν θυσίαν, ἣν εὔξαντο, παρεσκευάζοντο· ἦσαν δὲ αὐτοῖς ἱκανοὶ βόες θῦσαι Διὶ τῷ Σωτῆρι καὶ τῷ Ἡρακλεῖ καὶ τοῖς ἄλλοις θεοῖς· ἐποίησαν δὲ καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ὄρει, ἔνθαπερ (gerade da, wo) αἱ σκηναὶ ἦσαν. 4. Ἀριαῖος, ὁ τῶν Περσῶν στρατηγός, καὶ οἱ τῶν Ἑλλήνων στρατηγοὶ ὅρκον ἐποιήσαντο, σύμμαχοι ὄντες (seiend) μὴ ἀδικήσειν ἀλλήλους· τοῦ δὲ ὅρκου γιγνομένου (stattfinden), οἱ μὲν Ἕλληνες ξίφος, οἱ δὲ βάρβαροι λόγχην εἰς τὸ αἷμα τῶν τεθυμένων θηρίων ἔβαψαν. 5. Βασιλεὺς πολλοὺς τῶν Ἑλλήνων τῶν ἐν τῇ Ἀσίᾳ οἰκούντων ἐβιάσατο, σὺν ἑαυτῷ στρατεῦσαι ἐπὶ τοὺς Ἀθηναίους, οἳ τοῖς ἐν τῇ Ἀσίᾳ Ἕλλησιν ἐβεβοηθήκεσαν ἐπὶ βασιλέα· οἱ δὲ οὐκ εὔξαντο, εὐτυχῆσαι αὐτὸν ἐν ταύτῃ τῇ στρατείᾳ. 6. Τοῦ στρατηγοῦ ἐπιτρέψαντος τῷ στρατεύματι ποιεῖν, ὅτι βούλοιτο, οἱ πολλοὶ τῶν στρατιωτῶν οἴκαδε (nach Hause) πορεύεσθαι ἐβούλοντο· πλοῖα δὲ πορισάμενοι πάντες οἴκαδε ἐπορεύθησαν.

7.

1. Miltiades, welcher in der Schlacht bei Marathon gesiegt hat (Part. Perf.), wurde der Retter Griechenlands genannt. 2. Dionysios, der Tyrann der Syrakusaner, war durch seine Furcht genötigt (gezwungen) worden, immer einen Harnisch zu tragen. 3. Themistokles überredete die Athener, ihn mit (μετά mit Gen.) Schiffen gegen (ἐπί mit

Ac... die Perser zu schicken (Aor.). 4. Die Athener beschlossen auf den Rat des Alcibiades (nachdem A. geraten hatte [Gen. abs.]) 60 Schiffe nach Sicilien zu schicken (Aor.). 5. Die Bogenschützen der Barbaren haben die Schwerbewaffneten der Griechen verfolgt und (ihnen) geschadet. 6. Der Statthalter schickte die Soldaten nach Karien, um mit Agesilaos (Dat.) Krieg zu führen. 7. Die Menschen werden von Gott aus vielen Gefahren gerettet. 8. Ptolemaios, der König von Ägypten, hat dem Homeros einen Tempel eingerichtet. 9. Prometheus soll (*λέγεται*) das Feuer aus dem Himmel gestohlen und den Menschen gebracht haben. 10. Krösus hoffte das Reich (Königtum) des Kyros zu zerstören (aufzulösen Fut.). 11. Die Fußsoldaten und die Reiter sind vor (*πρό* mit Gen.) der Schlacht von dem Befehlshaber geordnet worden. 12. Nach (*μετά* mit Acc.) dem Kriege der Peloponnesier und Athener herrschten (befehligten) die Lacedämonier über alle Griechen (Gen.). 13. Die Griechen hielten (glaubten) es für die schönste That, das Vaterland aus Gefahren zu retten (Aor.). 14. Antigone begrub heimlich (stehlend Aor.) den Körper ihres Bruders. 15. Ihr habt durch eure Reden der Stadt (Acc.) mehr (*μᾶλλον*) geschadet, als die Feinde durch ihre (die) Waffen. 16. Euripides ist in Macedonien begraben worden (Perf.). 17. Vulcan ist von Jupiter aus dem Himmel geworfen worden.

8.

1. Die Könige der Lydier sollen viele und kostbare Weihgeschenke dem Apollo nach Delphi geschickt haben, um dem Gott gefällig zu sein (Part. Fut.). 2. Prometheus ist, weil er das Feuer aus dem Himmel gestohlen und den Menschen gebracht hatte (Part.), von Zeus bestraft worden. 3. Die Göttin Latona, der Niobe zürnend wegen ihres (des) Übermuts, trug dem Apollo und der Diana auf, die Söhne und Töchter derselben niederzuschießen (*κατατοξεύειν* Aor.). 4. Im Frieden, sagt Herodot, begraben die Söhne ihre (die) Väter, im Kriege aber die Väter ihre (die) Söhne; oft aber haben auch im Frieden Väter ihre Söhne und im Kriege Söhne ihre Väter begraben. 5. Die Römer schickten die Jüngeren in den Krieg, die Greise aber ließen sie zu Hause (*οἴκοι*). 6. Die Athener begruben den Philosophen Plato sehr glanzvoll und schrieben (*ἐπιγράφω τινί*) auf das Grabmal desselben folgendes: Apollo erschuf (*φύω*) den Asklēpios und Plato, den einen, damit (*ἵνα*) er die Körper, den andern, damit er die Seelen heile (Opt.

Aor.). 7. Kalypso entließ auf Befehl des Zeus (Gen. abs.) den Odysseus nach Ithaka. 8. Solon hat den Athenern die besten Gesetze gegeben (geschrieben). 9. Die guten Bürger werden den Staat frei und glücklich bewahren (bewachen). 10. Ptolemaios, der Sohn des Lagos, soll den Leichnam (Körper) Alexanders entwendet (gestohlen) und in Alexandria begraben haben. 11. Gott hat alles sehr gut und sehr weise eingerichtet. 12. Als Kodros das Vaterland durch seinen Tod gerettet hatte, stritten seine Söhne über (*περί* mit Gen.) die Königsherrschaft; die Athener aber schafften dieselbe ab (lösten auf). 13. Die Römer sollen anfangs (*τὸ μὲν πρῶτον*) bei dem Anblicke der Barbaren (die B. sehend) gezittert haben, später aber, an (*σύν*) den Anblick derselben gewöhnt, guten Muts gewesen sein und gehofft haben, dieselben zu besiegen (Inf. Fut.).

9.

1. Pyrrhos hoffte, wie (*ὡς*) Alexander sich in Asien eine große Herrschaft erworben habe (Opt.), so (*οὕτως*) in Italien sich eine große Herrschaft zu erwerben (Inf. Fut.). 2. Kyros der Jüngere sammelte sich sowohl viele Barbaren als auch Hellenen, um gegen seinen (den) Bruder zu Felde zu ziehen (Part. Fut.). 3. Herakles soll sowohl viele andere Thaten ausgeführt als auch mit (*σύν* mit Dat.) den Göttern den schrecklichen Krieg gegen die Giganten geführt haben. 4. Das Lügen ist von den Persern für sehr schimpflich gehalten worden (Perf.). 5. Von wem sind schönere und glanzvollere Thaten ausgeführt (betrieben) worden, als von den Hellenen in den Kriegen gegen die Perser? 6. Nicht alle Eltern werden den Kindern einen großen Reichtum hinterlassen. 7. Lykurgos hat den Lacedämoniern sehr gute Gesetze hinterlassen. 8. Die Gesetze werden zwar immer befehlen das Gute zu thun, die schlechten Menschen aber werden das Schlechte thun. 9. Der Richter, welcher dich losgesprochen hat (Part.), wird die Gerechten nicht strafen. 10. Die Hoffnung hat schon (*ἤδη*) viele Menschen getäuscht (betrogen). 11. Du wirst am besten Recht sprechen (richten), wenn du die Wahrheit (das Wahre) hören willst (*ἐθέλω*) und dich nicht (*μή*) der Schlechtere überreden wird. 12. Wer sollte nicht eingestehen (Opt. Aor. mit *ἄν*), daß von Themistokles nicht nur Athen, sondern ganz Griechenland gerettet worden sei (Perf.)? 13. Die Peltasten sind benannt (genannt) worden von (*ἀπό* mit Gen.) den Schilden (*πέλτη*), mit welchen sie bewaffnet waren. 14. Philipp, der König der Mace-

donier, ist mit Recht (δικαίως) für einen guten Feldherrn gehalten (geglaubt) worden (Perf.).

10.

1. Die Barbaren, welche schwere Steine schleuderten und mit den Speeren warfen, besiegten die Griechen und verfolgten (sie) auf (ἐπί mit Acc.) die Berge. 2. Da das Erz der Waffen geblitzt hatte (Gen. abs.), war es den Feinden unmöglich, sich vor den Griechen (Acc.) zu verbergen (Aor.). 3. Kyros, beschimpft von seinem Bruder, überlegte bei sich, wie (ὅπως) er sich an diesem (Acc.) rächen werde. 4. Als die Perser nach Griechenland zu Felde gezogen waren, um (Part. Fut.) Athen zu vernichten, haben die Athener allein sich zur (εἰς) Schlacht gerüstet, und 10000 Athener haben 100000 Perser besiegt und in die Flucht geschlagen (gewendet). 5. Die Barbaren verwüsteten, wo (ῇ) sie gingen, die Äcker (Landgüter) und Städte der Griechen; in der Schlacht aber wurden sie, wegen der Menge einander hindernd (Aor.), von den Athenern besiegt; diese aber verfolgten sie bis zu (εἰς) den Schiffen und retteten so (οὕτως) Griechenland aus großer Gefahr. 6. Der König versammelte die Anführer und befahl ihnen, ohne Zögern (nicht zögernd) zu marschieren und den ganzen Weg zu beschleunigen (eilen). 7. Cheirisophos hörte, als er die sich zur Schlacht rüstenden Feinde erblickt (zugeschaut) hatte, auf zu marschieren (Part.), damit (ἵνα) er sich nicht (μή) den Feinden nähere (Opt. Aor.). 8. Nachdem Kyros gestorben war, hörte der Feldzug auf; die Griechen aber marschierten lange (viele) Zeit durch (διά mit Gen.) feindliches Land.

11.

1. Die einen der Soldaten hat der Feldherr bereichert, die andern aber hat er um (περί mit Gen.) den Sold betrogen. 2. Für die Sieger (Part. Aor.) waren Kränze von den Jungfrauen geflochten worden. 3. Nicht mit Recht (δικαίως) beschuldigst du deinen (den) Bruder, den Knaben mit dem Stocke geschlagen zu haben. 4. Warum (διὰ τί) hast du gelogen? 5. Der König hat die fremden Gesandten gastfreundlich bewirtet; als er aber gehört hatte (Part.), daß der, welcher sie abgeschickt hatte (Part.), nicht bereit sei, einen Vertrag zu schließen (Aor.), entließ er sie, ohne sie zu begrüßen (nicht begrüßt habend).

6. Die Barbaren schleuderten Steine auf die Griechen, um die Spitzen der Speere (Speerspitzen) abzuschlagen; nachdem aber viele Speerspitzen abgeschlagen worden waren, wichen die Griechen zurück. 7. Kyros glaubte, daß Abrokŏmas (1) den Engpaß (die Thorflügel) Syriens bewachen werde; Abrokŏmas aber that dieses nicht, sondern, als er gehört hatte, daß Kyros in Cilicien sei, kehrte er um (Part.) (und) eilte mit (habend) seinem großen Heere zum (παρὰ mit Acc.) Großkönig. 8. Die Barbaren, in (durch) einer Seeschlacht besiegt, besserten sehr schnell ihre (die) Schiffe aus, damit (ἵνα) sie nicht (μὴ) gezwungen würden (Opt. Aor.), den Feinden das Meer zu überlassen; nachdem die Schiffe aber ausgebessert worden waren (Gen. abs.), starb dar König, und der Krieg hörte auf.

12.

1. Sokrates ist wegen seiner Weisheit von den Griechen bewundert worden; dennoch (ὅμως) aber haben ihn (Gen.) die Athener zum Tode (Acc.) verurteilt. 2. Alexandrīa, die Hauptstadt Ägyptens, ist von Alexander, dem Könige der Macedonier, gegründet und nach (ἀπό mit Gen.) ihm benannt worden. 3. Alle Schiffe, welche in dem Hafen waren, sind in kurzer Zeit ausgebessert worden. 4. O Vater, mit Recht (δικαίως) hast du die Knaben getadelt und bestraft, welche gelogen haben. 5. Gott wird uns bewachen und für uns (Gen.) sorgen, wenn uns auch alle Menschen verlassen werden. 6. Tadelt (Coni. Aor.) nicht (μή) die um (περί mit Gen.) Weisheit wetteifernden Jünglinge, welche einen großen Ruhm von sich (Gen.) hinterlassen werden. 7. Alle, welche in der Rennbahn (Acc.) gesiegt haben, sollen mit den schönsten Kränzen bekränzt werden. 8. Ein Land, von allen Seiten vom Meere begrenzt, wird Insel genannt. 9. Als Olynth von Philipp, dem Könige der Macedonier, belagert wurde (Gen. abs.), überredete Demosthenes die Athener, den Olynthiern zu Hilfe zu eilen. 10. Der Feldherr befahl den Reitern, die in der Schlacht besiegten Feinde zu verfolgen, damit sie nicht (μή) später (ὕστερον) (wieder) geordnet dem Lager sich näherten (Opt. Aor.). 11. Sparta war befestigt nicht durch Mauern, sondern durch die Tapferkeit der Bürger. 12. Die Athener, zu Land und zu Wasser belagert, schlossen mit (Dat.) den Lacedämoniern einen schimpflichen Vertrag. 13. Als Alexander den Darius besiegt hatte, schrieb er den Athenern: Beschließet, daß ich ein Gott sei. 14. Cyrus, von seinem Bruder Artaxerxes beschimpft, wurde von seiner Mutter

Parysatis, welche den jüngeren Sohn mehr liebte, als den herrschenden Artaxerxes, aus großer Gefahr gerettet.

Zusammenhängende Lesestücke.

I. Ἡ τῶν ἑπτὰ ἡγεμόνων ἐπὶ Θήβας στρατεία.

1.

Ἐτεοκλῆς καὶ Πολυνείκης, οἱ τοῦ Οἰδίποδος καὶ τῆς Ἰοκάστης υἱοί, τοῦ πατρὸς τελευτήσαντος ὡμολόγησαν πρὸς ἀλλήλους παρ᾽ ἔτος[1] ἄρξειν. Ἐτεοκλῆς δὲ πρεσβύτερος ὢν πρῶτος ἦρξε. Τοῦ δ᾽ ἔτους ἐξήκοντος[2] ὁ μὲν Ἐτεοκλῆς οὐκ ἐβούλετο ἀναχωρεῖν τῆς βασιλείας, ὁ δὲ Πολυνείκης κατὰ τὸ ὡμολογημένον ᾔτησεν αὐτὸν τὴν ἀρχήν. Τοῦ δὲ ἀδελφοῦ οὐ πειθομένου, εἰς Ἄργος πρὸς Ἄδραστον τὸν βασιλέα ἐπορεύθη. Κατὰ τὸν αὐτὸν χρόνον Τυδεύς, ὁ Οἰνέως, ἐπεὶ ἐν Καλυδῶνι τοὺς οἰκείους ἐφόνευσεν, ἐκ τῆς Αἰτωλίας εἰς Ἄργος φεύγει. Ἄδραστος δὲ ἀμφοτέρους φιλίως δεξάμενος τὰς θυγατέρας αὐτοῖς συνῴκισε[3]. Τῶν δὲ νεανιῶν ἐν μεγάλῃ τιμῇ καὶ δόξῃ ὄντων, ὁ Ἄδραστος ὡμολόγησε κατάξειν[4] αὐτοὺς εἰς τὰς πατρίδας, καὶ πρῶτον ἄγγελον ἀπέπεμψε τὸν Τυδέα πρὸς Ἐτεοκλέα περὶ τῆς τοῦ Πολυνείκους καθόδου[5]. Ἐτεοκλέους δὲ αὐτῷ κατὰ τὴν ὁδὸν ἐνέδραν[6] πεντήκοντα ἀνδρῶν ποιησαμένου, ὁ μὲν Τυδεὺς ἅπαντας φονεῦσαι λέγεται, Ἄδραστος δὲ ταῦτα ἀκούσας παρασκευάσασθαι τὰ πρὸς στρατείαν καὶ ἄνδρας θρασεῖς καὶ ἀνδρείους πεῖσαι ἑαυτῷ συμπολεμεῖν, Καπανέα τε καὶ Ἱππομέδοντα καὶ Παρθενοπαῖον.

2.

Ὁ δὲ Πολυνείκης ἐπειρᾶτο πείθειν Ἀμφιάραον τὸν μάντιν συστρατεύειν αὐτῷ ἐπὶ Θήβας. Τοῦ δὲ μάντεως προνοοῦντος[1], ταύτην τὴν στρατείαν αὐτῷ ὄλεθρον παρασκευάσειν, καὶ διὰ τοῦτο οὐ συγχωροῦντος, Πολυνείκης κάλλιστον καὶ πολυτελέστατον δῶρον

1) ein Jahr um das andere. 2) ἐξήκω verflossen sein. 3) συνοικίζω vermählen. 4) zurückführen. 5. Rückkehr. 6) Hinterhalt.

1) προνοέω vorhersehen.

Ἐριφύλῃ, τῇ τοῦ Ἀμφιαράου γυναικί, ἐδωρήσατο, ὅπως τὸν ἄνδρα πείσῃ σύμμαχον εἶναι. Ἐριφύλης δὲ τὸν ἄνδρα πεισάσης μετέχειν [2] τῆς στρατείας, οἱ ἑπτὰ ἡγεμόνες στράτευμα ἀθροίσαντες καὶ παρασκευασάμενοι ἐπὶ τὰς Θήβας ἐπορεύθησαν. Ἐπεὶ δὲ ταῖς τῆς πόλεως πύλαις, αἳ ἑπτὰ ἦσαν, ἐπλησίαζον, Ἐτεοκλῆς ἴσους ἡγεμόνας αὐτοῖς ἀντέταξεν [3]. Ἐν δὲ τῇ μάχῃ οἱ Θηβαῖοι φεύγοντες μέχρι [4] τῶν τειχῶν ἐδιώχθησαν. Ἐνταῦθα [5] Καπανεὺς ἁρπάσας κλίμακα εἰς τὸ τεῖχος ἀνέβαινεν [6], ὁ δὲ Ζεὺς αὐτὸν κεραυνῷ ἔβλαψεν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχοῦντες [7] περὶ τῆς βασιλείας ἀλλήλους ἐφόνευσαν. Ἐπεὶ δὲ καὶ Τυδεὺς καὶ Ἱππομέδων καὶ Παρθενοπαῖος μαχόμενοι ἐτελεύτησαν, οἱ Ἀργεῖοι πρὸς φυγὴν ἐτρέποντο.

3.

Ἀμφιάραος δὲ διωκόμενος ὑπὸ Περικλυμένου φεύγει παρὰ τὸν Ἰσμηνὸν ποταμόν. Ὁ δὲ Ζεὺς κεραυνῷ ἔσχισε [1] τὴν γῆν καὶ ἐκεῖνος σὺν τῷ ἅρματι ἠφανίσθη. Ἄδραστον δὲ μόνον ὁ ἵππος ἔσωσεν. Ἐπεὶ δὲ οἱ Θηβαῖοι νενικηκότες τὴν τῶν νεκρῶν ἀναίρεσιν [2] οὐ συνεχώρησαν καὶ τὰ σώματα τῶν τετελευτηκότων, οὐδενὸς τολμῶντος αὐτὰ θάπτειν, οὐκ ἐθάφθησαν, Ἄδραστος τοὺς Ἀθηναίους ἱκέτευσε τοὺς νεκροὺς θάπτειν. Οἱ δὲ Ἀθηναῖοι τῶν ἄλλων εὐσεβείᾳ διαφέροντες [3] μετὰ Θησέως τοῦ βασιλέως ἐστρατεύσαντο καὶ νικήσαντες τοὺς Θηβαίους πάντας τοὺς ἐν τῇ μάχῃ τετελευτηκότας ἔθαψαν.

II. *Περὶ τῆς τοῦ Σόλωνος παρὰ Κροίσῳ ἀποδημίας* [1].

1.

Κροίσου τῶν Λυδῶν βασιλεύοντος ἐπορεύοντο εἰς Σάρδεις, τὴν πλουσιωτάτην πόλιν τῆς Λυδίας, πολλοί τε ἄλλοι σοφοὶ ἄνδρες ἐκ τῆς Ἑλλάδος καὶ Σόλων, ἀνὴρ Ἀθηναῖος, ὃς τοῖς Ἀθηναίοις νόμους ποιήσας ἐκ τῆς πατρίδος ἀνεχώρησε δέκα ἔτη, ἵνα

---

2) teilnehmen. 3) *ἀντιτάττω* entgegenstellen. 4) bis. 5) hier. 6) *ἀναβαίνω* hinaufsteigen. 7) im Zweikampf fechten.

1) *σχίζω* spalten. 2) das Aufheben (Bestattung). 3) *διαφέρειν τινός* sich vor einem auszeichnen.

1) Aufenthalt in der Fremde.

μὴ ἀναγκασθείη ὑπὸ τῶν πολιτῶν τῶν νόμων τινὰ λῦσαι· αὐτοὶ γὰρ οὐκ ἐδύναντο τοῦτο ποιῆσαι, ὅτι μεγάλους ὅρκους ἐποιήσαντο δέκα ἔτη τούτοις τοῖς νόμοις χρήσεσθαι. Διὰ τοῦτο Σόλων ἐπορεύθη εἰς Σάρδεις παρὰ Κροῖσον, ὑφ᾽ οὗ ἐξενίζετο ἐν τοῖς βασιλείοις[2]. Τῇ δὲ τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ κελεύσαντος τοῦ βασιλέως θεράποντες τὸν Σόλωνα περιῆγον[3] κατὰ τοὺς θησαυρούς[4], ἐν οἷς κάλλιστα καὶ πολυτελέστατα χρήματα ἦν.

2.

Θεασάμενον δὲ αὐτὸν τὰ πάντα ἠρώτησεν ὁ Κροῖσος τάδε· Ξένε Ἀθηναῖε, ἀκούσας, τὸν Σόλωνα εἶναι σοφώτατον ἄνδρα πάντων τῶν Ἑλλήνων, εὔχομαί σε ἐρωτᾶν, εἴ τινα ἤδη ἑώρακας πάντων εὐδαιμονέστατον. Ὁ μὲν βασιλεὺς ἤλπισεν αὐτὸς εἶναι πάντων τῶν ἀνθρώπων εὐδαιμονέστατος, Σόλων δὲ οὐ χρησάμενος τοῖς πρὸς χάριν λόγοις ἔλεξεν· Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον πάντων εὐδαιμονέστατον νομίζω. Θαυμάσας δὲ Κροῖσος τὸ λεχθὲν αὖθις ἠρώτησεν αὐτόν· Διὰ τί Τέλλον εὐδαιμονέστατον εἶναι νομίζεις; Ὁ δὲ Σόλων ἔλεξε· Τέλλῳ μὲν τῆς πόλεως εὖ ἐχούσης παῖδες ἦσαν καλοί τε κἀγαθοί, καὶ αὐτοῖς ἑώρακε πᾶσι τέκνα γεννηθέντα[1] καὶ πάντα ὑπόλοιπα[2] ὄντα, εὖ δὲ πράττοντι[3] τελευτὴ τοῦ βίου λαμπροτάτη ἦν. Τῶν γὰρ Ἀθηναίων πολεμούντων τοῖς Μεγαρεῦσιν ἐν Ἐλευσῖνι βοηθήσας καὶ τροπὴν ποιήσας τῶν πολεμίων ἐτελεύτησε κάλλιστα· οἱ δὲ Ἀθηναῖοι ἔθαψαν αὐτὸν δημοσίᾳ[4] καὶ ἐτίμησαν μεγάλαις τιμαῖς.

3.

Μετὰ δὲ ταῦτα ἠρώτησεν ὁ Κροῖσος τὸν Σόλωνα, τίνα μετ᾽ ἐκεῖνον νομίζοι εὐδαιμονέστατον, πιστεύων τὰ δευτερεῖα[1] γοῦν[2] Σόλωνα αὐτῷ ὁμολογήσειν. Ὁ δὲ Σόλων ἔλεξε Κλέοβίν τε καὶ Βίτωνα· οὗτοι γὰρ Ἀργεῖοι ὄντες τὸ γένος βίον τε ἀρκοῦντα εἶχον καὶ πρὸς τούτῳ ῥώμη σώματος αὐτοῖς ἦν τοιάδε. Λέγεται γὰρ περὶ τούτων ὅδε ὁ λόγος. Ἑορτῆς οὔσης τῇ Ἥρῃ παρὰ τοῖς Ἀργείοις, ἔδει τὴν μητέρα αὐτῶν ζεύγει κομισθῆναι εἰς τὸν ναόν, οἱ δὲ βόες

2) τὰ βασίλεια das königliche Schloß. 3) περιάγω herumführen. 4) θησαυρός Schatzkammer.

1) γεννάω erzeugen. 2) ὑπόλοιπος am Leben bleibend. 3) εὖ πράττειν in guten Verhältnissen leben. 4) auf öffentliche Kosten.

1) der zweite Preis. 2) wenigstens.

ἐκ τοῦ ἀγροῦ οὐχ ἧκον ἐν ὥρᾳ. Τῆς δὲ μητρὸς διὰ τοῦτο ἐν πολλῇ ἀπορίᾳ οὔσης, οἱ νεανίαι αὐτοὶ εἷλκον τὴν ἅμαξαν, ἡ δὲ μήτηρ ἐπὶ τῆς ἁμάξης εἰς τὸν ναὸν ᾠχεῖτο [3]. Ταῦτα δὲ ποιήσασιν αὐτοῖς τελευτὴ τοῦ βίου ἦν ἀρίστη, καὶ ἐδήλωσεν ἐν τούτοις ὁ θεός, ἄμεινον εἶναι ἀνθρώπῳ τὸ τετελευτηκέναι ἢ τὸ ζῆν. Ἀργεῖοι μὲν γὰρ ἐμακάριζον [4] τῶν νεανιῶν τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν διὰ τὴν τῶν τέκνων εὐσέβειαν. Ἡ δὲ μήτηρ, περιχαρὴς [5] οὖσα τῷ τε ἔργῳ καὶ τῇ ἀγαθῇ δόξῃ, εὔχετο, τὴν θεὸν τιμῆσαι τὰ ἑαυτῆς τέκνα τούτῳ τῷ δώρῳ, ὃ ἀνθρώπῳ ἄριστόν ἐστιν. Μετὰ ταύτην δὲ τὴν εὐχὴν οἱ νεανίαι, ἐπεὶ ἔθυσαν, ἐν τῷ ναῷ κατακοιμηθέντες [6] ἐν τῷ ὕπνῳ τὸν βίον ἐτελεύτησαν. Σόλων μὲν τούτοις τὰ δευτερεῖα τῆς εὐδαιμονίας ὡμολόγησεν, ὁ δὲ Κροῖσος ὀργισθεὶς ἔλεξεν· Ὦ ξένε Ἀθηναῖε, σὺ οὖν τῆς ἐμῆς εὐδαιμονίας οὕτω καταφρονεῖς, τὴν ἰδιωτῶν [7] εὐδαιμονίαν περὶ πλείονος ποιησάμενος [8] τῆς ἐμῆς; Ὁ δὲ Σόλων ἔλεξεν· Εἰ καὶ πλουτεῖς καὶ βασιλεύεις πολλῶν ἀνθρώπων, οὐ λέγω σε εὐδαίμονα εἶναι, πρὶν [9] ἂν ἀκούσω, τὸν βίον σε καλῶς τελευτῆσαι· παντὸς γὰρ χρήματος τὴν τελευτὴν σκοπεῖν δεῖ. Τούτοις δὲ τοῖς λόγοις τῷ Κροίσῳ οὐ χαρισάμενος Σόλων οὐκ εὐμενῶς ὑπὸ τοῦ βασιλέως ἀπεπέμφθη.

III. Περὶ τῆς τοῦ ἀνθρωπίνου (γένους) ἀσεβείας.

Ἐπεὶ τὸ ἀνθρώπινον (γένος) ἀσεβὲς ὂν τῶν θεῶν κατεφρόνει, Ζεύς, ὁ βασιλεὺς τῶν τε ἀνθρώπων καὶ τῶν θεῶν, ᾧ τὰ τῶν ἀνθρώπων ἀσεβῆ ἔργα ἐμηνύθη, αὐτὸς ἀνθρώπου σχῆμα καὶ εἶδος ἔχων κατὰ τὰς πόλεις πορεύεσθαι ἐβουλεύσατο. Λυκάων δέ, ὁ τῶν Ἀρκάδων βασιλεύς, ἄνθρωπος ἀγριώτατος καὶ ἀσεβέστατος, τῷ Διὶ ἐπιβουλεύσας διὰ ταύτην τὴν ὕβριν μεγάλῃ τιμωρίᾳ ἐζημιώθη· ὁ γὰρ θεὸς αὐτὸν ἐποίησε λύκον. Μετὰ δὲ τοῦτο συμβουλευσαμένου τοῦ Διὸς τοῖς ἄλλοις θεοῖς περὶ τῆς τῶν ἀσεβῶν ἀνθρώπων τιμωρίας, οἱ θεοὶ ἐβουλεύσαντο πᾶν τὸ ἀνθρώπινον ἀφανίσαι. Διὰ τοῦτο μὲν πάντες οἱ ἄνθρωποι μεγάλῳ

---

3) ὀχέομαι fahren. 4) μακαρίζω glücklich preisen. 5) hocherfreut. 6) κατακοιμάομαι einschlafen. 7) ἰδιώτης Privatmann. 8) περὶ πλείονος ποιεῖσθαι höher schätzen. 9) bevor.

κατακλυσμῷ[1] ἠφανίσθησαν, Δευκαλίων δὲ καὶ Πύῤῥα ἡ γυνή, οἳ μόνοι τῇ εὐσεβείᾳ τὴν τῶν θεῶν χάριν ἐκτήσαντο, ἐσώθησαν.

Zehnter Abschnitt.

Verba liquida.

1.

1. Οἱ Ὀλύνθιοι, ὑπὸ Φιλίππου, τοῦ τῶν Μακεδόνων βασιλέως, πολιορκούμενοι πρέσβεις ἀπέστειλαν πρὸς τοὺς Ἀθηναίους, αἰτήσοντας τάχιστα αὐτοῖς βοηθῆσαι. 2. Ὀρέστης, τὴν μητέρα ἀποκτείνας, ὑπὸ τοῦ Ἀρείου πάγου ἐκρίθη. 3. Ξέρξης, ἀγείρας μεγάλην στρατιάν, ἐπορεύετο ἐπὶ τὴν Ἑλλάδα, τιμωρησόμενος τοὺς Ἀθηναίους, οἳ τοῖς ἐν τῇ Ἀσίᾳ Ἴωσιν ἐβεβοηθήκεσαν. 4. Οἱ Ἕλληνες τοὺς πολεμίους διεσπαρμένους ἐδίωξαν καὶ πολλοὺς αὐτῶν ἀπέκτειναν. 5. Δημοσθένους λέξαντος πρὸς Φωκίωνα, ἀποκτενοῦσί σε οἱ Ἀθηναῖοι, ἐὰν μανῶσι, ναί (ja), ἀπεκρίνατο, ἐμὲ μέν, ἐὰν μανῶσι, σὲ δέ, ἐὰν σωφρονῶσιν. 6. Μετὰ τὴν μάχην ὁ Λύσανδρος εἰς Λακεδαίμονα ἄνδρας ἀπέστειλεν ἐπὶ τῆς κρατίστης νεώς, ἀπαγγελοῦντας τὴν νίκην, κοσμήσας τὴν ναῦν τοῖς πολυτελεστάτοις ὅπλοις. 7. Διενείμαντο τὴν ἀρχὴν Ζεὺς καὶ Ποσειδῶν καὶ Πλούτων. 8. Ἄνδρες δικασταί, ἐπειδὰν (sobald als) πάντα ἀκούσητε, κρίνατε. 9. Τίς ἄμεινον τοῦ σοφοῦ κρινεῖ τὰ δίκαια; 10. Ὁ Ξενοφῶν τοῖς στρατιώταις μεῖναι ἐπὶ (bei) τοῦ ποταμοῦ παρήγγειλεν· ἐπειδὰν δὲ ὁ σαλπιγκτὴς σημήνῃ τὸ πολεμικόν, πάντας τάχιστα τὸν ποταμὸν περᾶν ἐκέλευσεν. 11. Ἐν τῇ ἐπὶ Σαλαμῖνι ναυμαχίᾳ διεφθάρησαν νῆες τῶν μὲν Ἑλλήνων τεσσαράκοντα, τῶν δὲ Περσῶν ὑπὲρ (über) τὰς διακοσίας. 12. Ἐν τῇ Σπάρτῃ στήλη ἐστὶ τὰ ὀνόματα ἔχουσα τούτων, οἳ πρὸς Μήδους τὸν ἐν Θερμοπύλαις ἀγῶνα ὑπέμειναν (bestehen).

---

1) Überschwemmung.

2.

1. *Σόλων, ὑπὸ Κροίσου ἐρωτηθείς, τίνα πάντων τῶν ἀνθρώπων εὐδαιμονέστατον νομίζοι, ἀπεκρίνατο· Τέλλον τὸν Ἀθηναῖον, ὅτι* (weil), *τῆς πόλεως εὖ πραττούσης* (sich wohl befinden), *παῖδες ἦσαν αὐτῷ καλοί τε κἀγαθοί* (*καὶ ἀγαθοί*), *καὶ πάντα ταῦτα ἔμεινε μέχρι* (bis) *τελευτῆς τοῦ βίου λαμπροτάτης.* 2. *Ἐν Δάνῃ, πόλει μεγάλῃ καὶ εὐδαίμονι τῆς Καππαδοκίας, ἔμεινε Κῦρος ἡμέρας τρεῖς· ἐν* (während) *ᾧ* (*χρόνῳ*) *ἀπέκτεινεν ἄνδρα Πέρσην, ὃς αὐτῷ ἐπεβούλευεν.* 3. *Δισχιλίους ἱππέας ἀπέστειλε βασιλεύς, ἵνα* (damit) *καὶ χιλὸν* (Futter) *καὶ εἴ τι ἄλλο χρήσιμον ἦν διαφθείρειαν καὶ περὶ* (über) *τοῦ τῶν πολεμίων στρατεύματος ἑαυτῷ ἀγγείλειαν.* 4. *Οἱ στρατιῶται κάλλιστα ἐσταλμένοι εἰς τὸν πόλεμον στελοῦνται.* 5. *Ξενοφῶν ἐθύσατο, χαρισόμενος τοῖς ὄνειρον αὐτῷ φήνασι θεοῖς.* 6. *Ἀστυάγης μεταπεμψάμενος τὸν Ἅρπαγον ἠρώτησεν, εἰ* (ob) *ἀποκτείνειε τὸν παῖδα, ὡς* (wie) *ἐπέταξεν. Ὁ δὲ ἀπεκρίνατο· Τοῦτον τὸν ποιμένα ἐκέλευσα τὸν παῖδα ἀποκτεῖναι, ὡς* (wie) *σὺ ἐπέταξας.* 7. *Ἐτεοκλῆς καὶ Πολυνείκης, περὶ τῆς βασιλείας ἐρίζοντες, ἀλλήλους ἀπέκτειναν.* 8. *Οἱ πολέμιοι τοὺς ἐσπαρμένους ἀγροὺς ἐπόρθησαν.* 9. *Τῶν νεῶν ἐν τῇ ναυμαχίᾳ διεφθαρμένων, οἱ βάρβαροι ἐπαύσαντο πολεμοῦντες.* 10. *Λεωνίδας τοῖς Σπαρτιάταις παρήγγειλεν ἀριστᾶν, ὡς ἐν ᾅδου δειπνήσουσιν.* 11. *Ὦ ξεῖν᾽, ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε* (hier) *Κείμεθα* (liegen), *τοῖς κείνων* (*ἐκείνων*) *ῥήμασι* (Befehl) *πειθόμενοι.*

3.

1. *Ἐλείποντο τῶν στρατιωτῶν οἱ διεφθαρμένοι ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμοὺς καὶ οἱ ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους τῶν ποδῶν· οἱ δὲ ἄλλοι πορευόμενοι διὰ τῆς πολεμίας* (*χώρας*) *πάντας τοὺς ἀγροὺς ἔφθειραν.* 2. *Οἱ Ἕλληνες ἐνόμιζον, τοὺς θεοὺς τοῖς ἀνθρώποις ὀνείρους φῆναι, ἵνα μέγα τι αὐτοῖς σημήνειαν.* 3. *Ὁ στρατηγὸς πρὸ* (vor) *τῆς μάχης ἔλεξεν· Ἄνδρες στρατιῶται, φάνητε ἀνδρειότατοι καὶ ἄξιοι τῶν ὑμετέρων πατέρων.* 4. *Τοῦ πυρὸς ἐπὶ τῶν ὀρῶν φανέντος, ὁ στρατηγὸς παρήγγειλε τῷ σαλπιγκτῇ σημαίνειν τῷ στρατεύματι, τοὺς πολεμίους στείλασθαι ἐπὶ τὰ ὄρη καὶ νυκτὸς αὐτοῦ* (daselbst) *ὑπομεῖναι ἄν, ὡς ἀναμενοῦντας τὴν τῶν συμμάχων βοήθειαν.* 5. *Μήδεια, ἑωρακυῖα διώκοντα τὸν πατέρα, τὸν ἀδελφὸν ἀπέκτεινεν.* 6. *Τοὺς Πέρσας, ἐπὶ τὴν*

Ἑλλάδα στειλαμένους, οἱ Ἀθηναῖοι δέξασθαι τολμήσαντες ἐνίκησαν· εὐξάμενοι δὲ τῇ Ἀρτέμιδι, ὁπόσους (wie viele) ἂν ἀποκτείνωσι τῶν πολεμίων, τοσαύτας (so viele) αἶγας θύσειν τῇ θεᾷ, ἐψηφίσαντο, ἐπεὶ (da) οὐκ εἶχον ἱκανάς, κατ᾽ ἔτος (jährlich) πεντακοσίας θύσειν. 7. Ξέρξης ἀγείρας μεγάλην στρατιὰν ἐπὶ τὴν Ἑλλάδα ἐστρατεύσατο· οἱ δὲ Ἕλληνες τοὺς Πέρσας ἐνίκησαν καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. 8. Περικλῆς Ἀθηναῖος, ἐν τῇ πατρίδι καλὰ καὶ μεγάλα ἔργα περάνας, παρὰ τοῖς πολίταις ἐν μεγάλῃ τιμῇ ἦν.

4.

Φαλῖνος, παρὰ βασιλέως πεμφθείς, ὡς (damit) κελεύσειε τοὺς Ἕλληνας τὰ ὅπλα παραδοῦναι (ausliefern), συμβουλευομένοις συνεβούλευσε τάδε· Ἐγώ, εἰ μὲν τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι πολεμοῦσι βασιλεῖ σωθήσεσθαι, συμβουλεύω ὑμῖν μὴ παραδοῦναι τὰ ὅπλα· εἰ δὲ μηδεμία σωτηρίας ἐστὶν ἐλπίς, συμβουλεύω ὑμῖν σῴζεσθαι, ὅπῃ δυνατόν (wie es möglich ist). Κλέαρχος δέ, ὁ τῶν Ἑλλήνων στρατηγός, πρὸς ταῦτα ἀπεκρίνατα· Ταῦτα μὲν σὺ λέγεις, παρ᾽ ἡμῶν δὲ ἀπάγγελλε, ὅτι ἡμεῖς ἡγούμεθα, εἰ μὲν δέοι βασιλεῖ φίλους εἶναι, πλείονος ἂν ἄξιοι εἶναι φίλοι ἔχοντες τὰ ὅπλα ἢ παραδόντες (wenn wir ausgeliefert haben) ἄλλῳ· εἰ δὲ δέοι πολεμεῖν, ἄμεινον ἂν πολεμεῖν ἔχοντες τὰ ὅπλα ἢ ἄλλῳ παραδόντες. Ὁ δὲ Φαλῖνος ἔλεξε· Ταῦτα μὲν ἀπαγγελοῦμεν· ἀλλὰ καὶ τάδε ὑμῖν φράσαι ἐκέλευσε βασιλεύς, ὅτι ὑμῖν αὐτοῦ (hier) μένουσι σπονδαί εἰσι, στελλομένοις δὲ πόλεμος. Λέγετε οὖν (also), πότερον (ob) μενεῖτε καὶ σπονδαί εἰσιν, ἢ (oder) ἀπαγγελῶ, ὑμᾶς πολεμεῖν βούλεσθαι βασιλεῖ. Κλέαρχος δ᾽ ἀπεκρίνατο· Ἀπάγγελλε τοίνυν (also), ὅτι καὶ ἡμῖν ταὐτὰ (τὰ αὐτὰ) δοκεῖ (gut scheint), ἃ καὶ βασιλεῖ. Τί οὖν ταῦτά ἐστιν; ἔφη (sagte) ὁ Φαλῖνος. Ἀπεκρίνατο ὁ Κλέαρχος· Ἐὰν (wenn) μὲν μένωμεν, σπονδαί, στελλομένοις δὲ πόλεμος. Ὁ δὲ πάλιν (wieder) ἠρώτησε· Σπονδὰς ἢ πόλεμον ἀπαγγελῶ; Κλέαρχος δὲ ταὐτὰ πάλιν ἀπεκρίνατο· Σπονδαὶ μὲν μένουσι, στελλομένοις δὲ πόλεμος. Ὅ, τι δὲ ποιήσοι, οὐκ ἐσήμηνεν αὐτῷ.

5.

1. Theseus, von den Athenern nach Kreta entsandt (Perf.), tötete den Minotauros. 2. Antworte mir, was ist neues gemeldet worden?

3. Apollo befahl den Athenern, mit einer hölzernen Mauer sich zu verteidigen (Aor.). 4. Die Feldherren Alexanders verteilten unter sich (Aor. Med.) die Herrschaft über die Länder, welche jener besiegt hatte. 5. Unsere Stadt wird sich gegen die Feinde (Acc.) würdig verteidigen. 6. Antworte mir (auf das), was ich dich fragen werde. 7. Anaxagoras sagte, es sei zwar schwierig, Schätze (Sachen) zu sammeln (versammeln Aor.), schwieriger aber (sie) zu bewachen (Aor.). 8. Nach der Schlacht bei Aigospotamoi entsandte Lysandros den Milesier Theopompos nach Lakedämon, um das Ausgeführte (Betriebene) zu melden (Part. Fut.); Konon aber schickte ein Schiff nach Athen, um dasselbe zu melden. 9. Achilleus ertrug (trug) den Tod des Patroklus so schwer (schwierig), daß (ὥστε) er allen Troern zürnend gelobte: Ich werde einen jeden töten, welchen (ὅστις) mir ein Gott in meine (die) Hände geben (ἐμβάλλειν) wird. 10. Pharnabazos, überredet von dem Lacedämonier Lysandros, entsandte einige (τὶς) Männer, welche den Alkibiades, der in einem Dorfe Phrygiens verweilte, töten sollten (Part. Fut.). 11. Die Griechen erwarteten die Perser bei (ἐπί mit Dat.) Salamis und besiegten das große Heer derselben. 12. Wenn etwa (ἐάν) Alexander als der größte Feldherr erscheint (Coni. Aor. II Pass.), so wird er nicht als der größte Mann erscheinen. 13. Periander, gefragt, was das Gößte sei (ist) in dem Kleinsten, antwortete: Ein guter Verstand in dem Körper des Menschen. 14. Die Troer verteidigten sich lange (viele) Zeit durch die Mauern der Stadt. 15. Kadmos tötete einen Drachen und säete Zähne desselben; als diese gesäet worden waren (Gen. abs.), gingen aus der Erde bewaffnete Männer hervor (ἀνατέλλω Aor.); diese aber töteten einander außer (πλήν) fünf, mit (σύν mit Dat.) welchen er die Stadt Theben gründete.

6.

1. Die Griechen töteten die von dem Könige der Perser abgeschickten (entsandten) Gesandten; der König aber, erzürnt hierüber (über dieses ἐπί mit Dat.), rüstete ein großes Heer aus, um sich an den Griechen (Acc.) zu rächen (Part. Fut.). 2. Als Aristippos gefragt worden war (Part.), wie (πῶς) Sokrates (wohl) gestorben sei (Opt. mit ἄν), antwortete er: Wie (ὡς) ich zu sterben wünschen möchte (Opt.). 3. Ein Bote wurde von Marathon nach Athen entsandt, um den Athenern den Sieg des Miltiades zu melden (Part. Fut.). 4. Das ganze

Heer der Feinde ist in der Schlacht zu Grunde gerichtet worden. 5. Mit (σύν mit Dat.) Gottes Hilfe (mit Gott) werden wir die Feinde abwehren (uns verteidigen). 6. Herakles tötete im Wahnsinn (rasend Part. Aor. II) seine Kinder. 7. Die Richter haben entschieden, daß der Vater im Wahnsinn seine Kinder getötet habe. 8. Als die Griechen gehört hatten, daß die Feinde von dem Wege (Gen.) ausgebogen seien, blieben sie zurück, um dieselben zu erwarten (Part. Fut.). 9. Nachdem die beiden Atriden, Agamemnon und Menelaos, ein großes Heer versammelt hatten (Part.), zogen sie gegen Troja zu Felde. 10. Kyros hoffte seinen (den) Bruder zu besiegen (Fut.), da die Streitmacht desselben zerstreut war. 11. Bei den Spartanern bejammerten die Mütter nicht den Tod der Söhne, welche für (ὑπέρ mit Gen.) die Rettung des Vaterlandes kämpfend in der Schlacht gestorben waren. 12. Die Mauern Athens sind, während die Lacedämonier (es) zu verhindern suchten (verhinderten), daß Athen mit einer Mauer befestigt werde, in kurzer Zeit vollendet worden. 13. Mein Vater wird nicht lange (viele) Zeit in Rom bleiben; nachdem er zwanzig Tage dort (ἐκεῖ) geblieben ist (Part. Aor.), wird er nach Athen reisen. 14. Oft ist es schwierig, das Wahre von dem Falschen (Gen.) zu unterscheiden (entscheiden Aor.).

7.

1. Die Barbaren werden, durch das feindliche Land marschierend, die besäeten Landgüter zu Grunde richten. 2. Melde (Aor.), o Fremdling (ξένος), den Lacedämoniern, daß (ὅτι) wir den Gesetzen des Vaterlandes gehorchend gestorben sind. 3. Kyros befahl den Anführern, die Beute unter die Soldaten (Dat.) zu verteilen (Aor.). 4. Der König wird denen, welche das Vaterland gerettet haben (Part.), die verdiente (würdige) Ehre zuteilen (teilen). 5. Die Athener haben nicht immer den Männern, welche sich für (ὑπέρ mit Gen.) die Rettung des Vaterlandes als die besten bewiesen hatten (erschienen waren), die verdiente Ehre zuerteilt. 6. Ein von Miltiades entsandter Bote meldete in Athen den Sieg der Athener bei Marathon. 7. Die Erde soll zuerst von Triptolemos besäet worden sein. 8. Nicht alles, was dir gut und schön erscheint, wird auch andern gut und schön erscheinen. 9. Der Weise wird dem Thoren nicht immer antworten. 10. Apollo befahl den Athenern mit einer hölzernen Mauer sich zu verteidigen. 11. Als die Mauern Athens vollendet waren, zeigte Themistokles den Ephoren

(ἔφορος) der Lacedämonier an, daß Athen durch eine Mauer befestigt worden sei. 12. Nach der Schlacht verfolgten die Reiter die besiegten Feinde, welche auf den Äckern zerstreut sich verborgen hatten. 13. Die Mütter der Spartaner schickten (entsandten) ihre (die) Söhne auf das beste und schönste ausgerüstet in den Krieg; wenn sie aber gehört hatten (Part.), daß dieselben tapfer kämpfend in der Schlacht gefallen (gestorben) seien, bejammerten sie nicht den Tod der Gefallenen. 14. Wir werden versuchen, uns zu verteidigen (Aor.) gegen diejenigen, welche uns verletzen (Part.). 15. Antwortet (Aor.) denen, welche euch gefragt haben (Part.), weichet aber nicht (μηδέ) von der Wahrheit (dem Wahren Gen.) ab (aus). 16. Wenn (ἐάν) ihr schöne und gute Werke, welche dem Vaterlande nützen, zustande bringt (Coni. Aor.), werdet ihr von den Mitbürgern mehr geehrt werden, als wenn (ἐάν) ihr euch großen Reichtum erwerbt (Coni. Aor.).

8.

1. Phalinos, welcher als Gesandter von dem Perserkönige abgeschickt zu den Griechen des Kyros gereist war, forderte die Griechen auf (befahl) die Waffen zu strecken (παραδοῦναι), wenn sie sich retten wollten (Opt.). Als die Griechen aber dieses bei sich überlegten (den überlegenden Gr.), riet er (ihnen), dieses zu thun, da (ἐπεί) ihnen, wenn sie mit dem Großkönige (Dat.) Krieg führten (Part.), keine Hoffnung auf Rettung wäre (Opt.). Klearchos aber, der Befehlshaber der Griechen, antwortete: Im Besitze der Waffen (die W. habend) werden wir dem Könige (Acc.) mehr (μᾶλλον) nützen als (ἤ) ohne Waffen (die W. nicht [μή] habend); wenn wir aber genötigt sind (gezwungen werden), mit dem Könige Krieg zu führen, wird es (für) uns besser sein (Opt. mit ἄν), die Waffen zu haben, damit (ἵνα mit Coni.) wir uns gegen die Feinde (Acc.) verteidigen. Dieses melde dem Könige als Antwort (zurück). Als Klearchos dieses geantwortet hatte (Gen. abs.), sagte Phalinos: Ich werde dem Könige diese Antwort melden. Hierauf (ἔπειτα) aber sagte Phalinos: Noch (ἔτι) etwas anderes hat mir der König aufgetragen euch zu sagen: Wenn (ἐάν mit Coni.) ihr hier (αὐτοῦ) bleibet, habt ihr Waffenstillstand (ist euch ein Vertrag), wenn ihr aber marschieret, wird der König mit euch Krieg führen. Als Phalinos dieses gesagt hatte, offenbarte ihm Klearchos nicht, was er thun werde (Opt.).

Elfter Abschnitt.

Particulae.

A. Adverbia.

1.

1. *Σπεῦδε βραδέως.* 2. *Οὐδεὶς μετ᾽ ὀργῆς ἀσφαλῶς βουλεύσεται.* 3. *Φίλους μὴ ταχέως κτῶ· οὓς δ᾽ ἂν κτήσῃ, φύλασσε.* 4. *Θαλῆς ἐρωτηθείς, πῶς ἄν τις τὴν ἀτυχίαν ῥᾷστα φέροι, εἰ, ἔφη, τοὺς ἐχθροὺς χεῖρον πράσσοντας* (sich befinden) *βλέποι.* 5. *Δαρεῖος καὶ Ξέρξης ἤλπιζον, εἰ τὰς Ἀθήνας καταστρέψαιντο* (sich unterwerfen), *ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν.* 6. *Πῶς ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη θεὸν ἢ οὕτω ποιῶν, ὡς αὐτὸς ἡμᾶς ποιεῖν κελεύει;* 7. *Ἡ Σινώπη τετείχισται καλῶς καὶ κεκόσμηται λαμπρότατα γυμνασίῳ καὶ ἀγορᾷ καὶ στοαῖς* (Säulenhalle). 8. *Μαρδόνιος ἔπεισε Ξέρξην καταστρέψασθαι τοὺς Ἕλληνας, ἀεὶ πολεμικῶς ἔχοντας πρὸς* (gegen) *τοὺς Πέρσας.* 9. *Τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ ὁ θεὸς κάλλιστα κατεσκεύακεν.* 10. *Ὁ ὑπ᾽ ἀνθρώπων οὐκ ὀρθῶς κριθεὶς ὑπὸ θεοῦ ποτε ὀρθῶς κριθήσεται.* 11. *Τὸ τόξον, ὃ οἱ μνηστῆρες* (Freier) *τῆς Πενελόπης τεῖναι οὐκ ἐδύναντο, ὑπ᾽ Ὀδυσσέως ῥᾳδίως ἐτάθη.* 12. *Ὅντινα ἀληθῶς φιλεῖς, οὗτος καὶ σὲ φιλήσει.* 13. *Ἡ Βαβυλὼν ὑπὸ Σεμιράμιδος τετειχίσθαι καὶ λαμπρότατα κεκοσμῆσθαι λέγεται.*

2.

1. *Διογένης ἐρωτηθείς, ποῦ τῆς Ἑλλάδος εἰσὶν ἀγαθοὶ ἄνδρες· Ἄνδρες μέν, ἔφη, οὐδαμοῦ, παῖδες δὲ ἐν Λακεδαίμονι.* 2. *Ἀριστείδης ἐρωτηθείς, τί μάλιστα αὐτὸν ἐν τῇ φυγῇ* (Verbannung) *ἐλύπει, τὸ πατρίδος ὄνειδος* (Schande), *ἔφη, κακῶς ἀκουούσης* (in üblem Rufe stehen) *ἐπὶ* (wegen) *τῇ φυγῇ αὐτοῦ.* 3. *Ἡ Αἴγυπτος πανταχόθεν φυσικῶς* (von Natur) *τετείχισται.* 4. *Οὐδαμοῦ κάλλιον καὶ δικαιότερον αἱ δίκαι ἐδικάζοντο ἢ ἐν τῷ Ἀρείῳ πάγῳ.* 5. *Οἱ ἄνθρωποι τότε μάλιστα μιμοῦνται τὸν θεόν, ὅταν* (wenn) *εὖ καὶ καλῶς ποιῶσιν.* 6. *Οἱ Ἰουδαῖοι καὶ πάλαι καὶ νῦν ἐν πᾶσι τοῖς χωρίοις τῆς γῆς διέτριβον.* 7. *Εἴθε* (wenn doch) *μηδέποτε οἱ πολέμιοι τὴν πατρίδα πορθοῖεν!* 8. *Οἱ Ἕλληνες μάλιστα ἐτίμων τοὺς*

Ὀλύμπια νενικηκότας. 9. *Μηδὲν ἄγαν.* 10. *Ὦ φίλε, πόθεν καὶ ποῖ;* 11. *Τοῖς καλῶς πράττουσιν ὁ θεὸς ἀεὶ εὐμενὴς πατήρ ἐστιν.* 12. *Ἤδη πολλάκις οἱ ἄνθρωποι περὶ* (um) *τῆς ἀρχῆς ἤρισαν καὶ ἔτι πολλάκις περὶ αὐτῆς ἐρίσουσιν.* 13. *Λεωνίδας, φυλάξας πολὺν χρόνον τὰς Θερμοπύλας, ὅποι οἱ Σπαρτιᾶται αὐτὸν ἔπεμψαν, τοὺς Πέρσας τῆς Ἑλλάδος κωλύσοντα, πρὸ τῆς πατρίδος ἀνδρειότατα ἀγωνισάμενος ἐτελεύτησεν.* 14. *Μὴ γίγνου* (sei nicht) *ταχὺς εἰς ὀργήν, ἀλλὰ βραδύς· ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος.*

3.

1. Cäsar hat nach der Besiegung (Part.) der Feinde die Gesandten der Gallier freundlich (*προσφιλής*) aufgenommen. 2. Die Welt (Schmuck) ist von Gott sehr gut und sehr weise eingerichtet worden. 3. Ihr habt nicht gerecht gehandelt, ihr Richter, daß (*ὅτι*) ihr den Sokrates (Gen.), den weisesten Mann der Athener, verurteilt habt. 4. Diejenigen, welche schlecht gehandelt haben (Part.), fürchten sich vor einem gerechten Richter (Acc.). 5. Mein Bruder hat sein (das) Haus sehr schön eingerichtet; das Haus des Bruders ist schöner eingerichtet worden als das des Vaters. 6. Lykurgos glaubte, daß Sparta besser durch die Tapferkeit der darin wohnenden Bürger als durch Mauern und durch Gräben befestigt sei (Perf.). 7. Noch nicht ist aller Tage Ende erschienen. 8. Als Alexander einst seine Freunde bewirtete, tötete er seinen tapfersten Feldherrn. 9. Die Soldaten, welche mutig und tapfer gekämpft hatten, sind durch viele und große Geschenke von den Anführern bereichert worden. 10. Die Esel gehen langsamer, aber sicherer als die Pferde. 11. Freunde werden Freunden gern (angenehm) gefällig sein; auch ich werde dir, o Freund, sehr gern gefällig sein. 12. Du hast sehr einfältig gesprochen, o Knabe; überlege (erwäge) vor (*πρό* mit Gen.) dem Sprechen; wenn (*ἐάν*) du dieses thust (Coni. Aor.), wirst du niemals einfältig sprechen. 13. Gott blickt sehr gnädig auf alle Menschen. 14. Was von den Menschen gesammelt worden ist (Part.), wird von Gott leicht wieder zerstreut, und was von den Menschen zerstreut worden ist, wird von Gott leicht wieder gesammelt. 15. Bezeuget das, was ich gesagt habe, der Wahrheit gemäß (wahr), damit (*ἵνα*) die, welche falsch gezeugt haben (Part.), als Lügner (gelogen habend) erscheinen (Coni. Aor. II Pass.). 16. Wen die Menschen ungerecht (*ἄδικος*) gerichtet haben, den wird Gott einst gerecht richten.

4.

1. Nachdem Kyros von allen Seiten Söldner gesammelt hatte, zog er gegen seinen (den) Bruder zu Felde. 2. Viele Städte, welche ehemals geblüht haben (ἀκμάζω), sind nachher zerstört (aufgelöst) worden. 3. Der Blitz (κεραυνός 2) schadet bisweilen Bäumen (Acc.), Häusern, Menschen, der Donner aber niemals. 4. Die Stadt Massilia war gut befestigt. 5. Gott wird einst die Menschen richten; oft aber hat er sie auch schon in diesem Leben gerichtet. 6. Alle Menschen werden einst von Gott gerichtet werden. 7. Nicht die, welche viel sprechen (Part.), sondern die, welche gut und weise sprechen, sind des Lobes würdig. 8. Mein Vater hat mir gesagt, daß du nach Griechenland reisen werdest; wann wirst du dorthin reisen? 9. Die Schlachten werden mehr entschieden durch die Tapferkeit der Seele (Plur.) als durch die Stärke des Körpers (Plur.). 10. Ehemals wurde die That geübt, jetzt aber die Rede. 11. Die Lacedämonier haben den Agesilaos am meisten unter den Königen geehrt. 12. Die damals (Lebenden) waren nicht besser als die jetzt (Lebenden). 13. Wer hinterließe (Opt. Aor. mit ἄν) nicht gern (angenehm) ein gutes Andenken von sich (Gen.)? 14. Gott wird immer (als) derselbe erscheinen; die Menschen aber sind bisweilen heute und morgen nicht dieselben. 15. Einen schlechten Mann werde ich (mir) niemals zum Freunde machen (Med.). 16. Es war schon spät am Tage (Gen.), als (καί) der Bote meldete, daß die Barbaren, von den Griechen besiegt, zu (ἐπί mit Acc.) dem Meere zurückgewichen seien. 17. Vor alters haben die Griechen viele Städte in Sicilien gegründet. 18. Die Barbaren, welche auf (ἐπί mit Acc.) die Berge marschiert waren, schleuderten von oben (Steine) auf die Griechen; darauf aber marschierten die Griechen hinauf und verfolgten sie; am folgenden Tage (Dat.) aber erschienen die Barbaren wieder und schleuderten von allen Seiten (Steine) und warfen mit Speeren.

B. Praepositiones.

5.

1. *Οἱ ἀμφὶ τὸν Λεωνίδαν ὑπὲρ τῶν μεγίστων καὶ καλλίστων ἀγαθῶν κινδυνεύσαντες τὸν βίον καλῶς ἐτελεύτησαν.* 2. *Ἀλέξανδρος τῷ γένει πρὸς πατρὸς ἦν Ἡρακλείδης, πρὸς δὲ μητρὸς Αἰακίδης.* 3. *Σὺν τῷ θεῷ ἄρχεσθε παντὸς ἔργου.* 4. *Νιόβη, ἡ Ταντάλου θυγά-*

τηρ, διὰ τὴν ὕβριν ὑπὸ τῆς Λητοῦς κολασθῆναι λέγεται. 5. *Ἐτεοκλῆς καὶ Πολυνείκης, οἱ τοῦ Οἰδίποδος (υἱοί), ἐρίζοντες περὶ τῆς βασιλείας, ἀλλήλους ἀπέκτειναν.* 6. *Τὰ ἱστία ἤδη τέταται· μετ᾽ οὐ πολὺν χρόνον ὁ πλοῦς περανθήσεται.* 7. *Σαπφώ, ὑπ᾽ ἔρωτος μανεῖσα, κατὰ πέτρας εἰς τὴν θάλασσαν ἑαυτὴν ἔῤῥιψεν.* 8. *Οἱ Πέρσαι, ἐν τῇ παρὰ Πλαταιαῖς μάχῃ ὑπὸ τῶν Ἑλλήνων νικηθέντες, ἐκ τούτου τοῦ χρόνου ἐπὶ τὴν Ἑλλάδα οὐκέτι ἐστρατεύσαντο· μετὰ δὲ ταύτην τὴν μάχην οἱ Ἕλληνες ἐπὶ τοὺς Πέρσας πολλὰς στρατείας ἐστρατεύοντο.* 9. *Οἱ σύμμαχοι, μεγάλῃ σπουδῇ κατὰ τῶν ὀρῶν πορευόμενοι, τῇ τῶν Ἑλλήνων στρατιᾷ ἠκολούθουν, ἐν τῷ κινδύνῳ αὐτοῖς βοηθήσοντες.* 10. *Ὁ πλοῦς ὁ κατὰ ποταμὸν ῥᾴων καὶ ἡδίων ἐστὶ τοῦ πλοῦ τοῦ ἀνὰ ποταμόν.* 11. *Λεωνίδας μετὰ τριακοσίων Σπαρτιατῶν ὑπὲρ τῆς πατρίδος καλῶς ἐτελεύτησεν.* 12. *Ὁ βίος τοῖς πλείστοις τῶν Ἀθηναίων ἀπὸ τῆς θαλάσσης ἦν.* 13. *Σωκράτης βελτίους ἐποίει τοὺς πολίτας ἀντὶ χειρόνων.* 14. *Ὅστις ἄρχεται ὑπὸ τῶν ἐπιθυμιῶν καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, μὴ νόμιζε, τοῦτον ἐλεύθερον εἶναι.* 15. *Θρασύβουλος μετὰ τὴν μάχην ἐπ᾽ ἴσοις καὶ δικαίοις πρὸς* (mit) *τοὺς ἀμφὶ (περὶ) τοὺς τρίακοντα σπονδὰς ἐποιήσατο.*

6.

1. *Λεωνίδας, τοῖς ἄλλοις τῶν Ἑλλήνων σώζεσθαι παραγγείλας, αὐτὸς μετὰ τῶν Σπαρτιατῶν καὶ τῶν Θεσπιέων ἐν ταῖς Θερμοπύλαις ὑπομείνας πρὸ τῆς πατρίδος κάλλιστα ἐτελεύτησεν.* 2. *Οἱ παρὰ βασιλέως πρεσβεύοντες κατὰ τὰ παρηγγελμένα τὸν φόρον ᾔτησαν.* 3. *Ὑπὲρ τῆς ὁδοῦ λόφος ἦν, παρ᾽ ᾧ οἱ πολέμιοι ἐστρατοπεδεύσαντο· τῶν δὲ Ἑλλήνων φανέντων, ἐπὶ τὸν λόφον πορευθέντες λίθους ἐκυλίνδουν βαρεῖς καὶ μεγάλους, ἀποκωλύσοντες αὐτοὺς τῆς ὁδοῦ.* 4. *Ὁ στρατηγὸς πρὸ τῆς μάχης πρὸς τοὺς στρατιώτας ἔλεξε· Θαῤῥεῖτε, ὦ ἄνδρες στρατιῶται, σὺν τοῖς θεοῖς τοὺς πολεμίους τήμερον νικήσομεν· μετὰ δὲ τὴν νίκην ἐπὶ λείαν ἐκπορεύεσθε. Ταῦτα δὲ ἀκούσαντες πάντες ἀνδρειότατα ἠγωνίσαντο· ἤλπιζον γὰρ μεγάλῃ λείᾳ πλουτίσεσθαι.* 5. *Τὸ χωρίον, ἐν ᾧ οἱ πολέμιοι ἐστρατοπεδεύσαντο, ἰσχυρὸν ἦν· καὶ γὰρ τάφρος ἦν περὶ αὐτὸ εὐρεῖα καὶ τύρσεις ξυλίνας ἐποιήσαντο, καθ᾽ ὧν ἐτόξευον, ὅστις τῷ στρατοπέδῳ πλησιάζοι.* 6. *Οἱ Ἕλληνες παρὰ πολὺν χρόνον παρὰ τὸν ποταμὸν πορευόμενοι ἐπειρῶντο τὴν τοῦ ποταμοῦ διά-*

βασιν· πειρωμένοις δὲ τὸ ὕδωρ ὑπὲρ τῶν μαστῶν (*μαστός* Brust) *ἐφαίνετο, καὶ τραχὺς ἦν ὁ ποταμὸς μεγάλοις λίθοις· τὰ δὲ ὅπλα ἐπὶ τῶν κεφαλῶν φέροντες γυμνοὶ ἦσαν πρὸς τὰ τοξεύματα καὶ τἄλλα* (*τὰ ἄλλα*) *βέλη· διὰ τοῦτο ἀνεχώρησαν καὶ ἐστρατοπεδεύσαντο αὐτοῦ παρὰ τὸν ποταμόν.* 7. *Οἱ παλαιοὶ ἐνόμιζον, ὅτι* (daß) *οἱ θεοὶ τοὺς παρὰ τοὺς νόμους ποιήσαντας τιμωροῦνται.*

7.

Οἱ Ἕλληνες, μετὰ Κύρου ἐπὶ βασιλέα στρατευσάμενοι, ἐν τῇ καταβάσει ἧκον εἰς κώμας, ἐν αἷς σῖτος καὶ οἶνος πολὺς ἦν. Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· καὶ παρὰ βασιλέως ἧκε Τισσαφέρνης καὶ ὁ τῆς βασιλέως γυναικὸς ἀδελφὸς καὶ ἄλλοι Πέρσαι τρεῖς, δοῦλοι δὲ πολλοὶ εἵποντο. Ἐπεὶ (als) *δὲ ἀπήντησαν αὐτοῖς οἱ τῶν Ἑλλήνων στρατηγοί, ἔλεγε πρῶτος Τισσαφέρνης δι᾽ ἑρμηνέως τάδε· Ἐγώ, ὦ ἄνδρες Ἕλληνες, γείτων* (benachbart) *οἰκῶ τῇ Ἑλλάδι· καὶ ἐπεὶ ἤκουσα, ὄντα πολλὰ δεινὰ ὑμῖν, παρὰ βασιλέως ᾐτησάμην, ἐπιτρέψαι μοι σῶσαι ὑμᾶς εἰς τὴν Ἑλλάδα. Ὁ δὲ χαριζόμενος ἐκέλευσέ με ἐρωτᾶν ὑμᾶς, διὰ τί ἐστρατεύσατε ἐπ᾽ αὐτόν. Διὰ τοῦτο συμβουλεύω ὑμῖν μετρίως* (gemäßigt) *ἀποκρίνεσθαι, ἵνα ἀγαθόν τι ὑμῖν παρ᾽ αὐτοῦ διαπράξωμαι* (auswirken). *Κλεάρχου δὲ μετρίως ἀποκριναμένου, ὁ Τισσαφέρνης ἔλεξε· Ταῦτα ἐγὼ ἀπαγγελῶ βασιλεῖ, καὶ ὑμῖν πάλιν τὰ παρ᾽ ἐκείνου· ἐν δὲ τούτῳ αἱ σπονδαὶ μενόντων. Μετὰ δὲ ταῦτα περιέμενον* (erwarten) *Τισσαφέρνην οἵ τε Ἕλληνες καὶ Ἀριαῖος, ὁ τῶν Κύρου βαρβάρων στρατηγός, ἐγγὺς* (nahe bei) *ἀλλήλων ἐστρατοπεδευμένοι, ἡμέρας πλείους ἢ εἴκοσιν.*

8.

1. Solon, von Krösus gefragt, wen er für den glücklichsten halte (glaube Opt.), sagte, daß niemand vor dem Tode glücklich sei. 2. Die Richter haben den Gesetzen gemäß den Verräter des Vaterlandes bestraft. 3. Gegen den Tod, welcher allen Menschen gemeinsam ist, haben wir keine (nicht) Waffen. 4. Über uns erblicken wir den Himmel, unter uns die Erde. 5. Es ist angenehm und ehrenvoll (glanzvoll) für das Vaterland zu sterben. 6. Wenn Gott mit uns ist, werden wir überall sicher sein (*ἐσόμεθα*). 7. Die Perser zogen aus dem Lager gegen die Griechen; diese aber für Rettung und Leben

kämpfend, töteten 3000 Feinde. 8. Bias, einer der sieben Weisen, sagte: Alles Meinige trage ich mit mir. 9. Die Feinde schickten Gesandte wegen des Friedens zu Cäsar. 10. Unter der Erde ist eine Menge nützlicher Dinge. 11. Die Erde hat das Licht von der Sonne her. 12. Die Phönizier wohnten um ganz Sicilien herum. 13. Kyros wollte (ἀξιοῦν) selbst anstatt seines (des) Bruders König sein; deswegen (wegen dieses) zog er gegen diesen zu Felde. 14. Die Achäer kämpften bei Troja nicht von den Pferden, sondern von den Wagen herab. 15. Um Griechenland herum giebt es viele Inseln, welche von Griechen bewohnt werden. 16. Das Heer des Krösus wurde um den Fluß Paktōlos herum versammelt. 17. Zeus bestrafte den König Salmōneus wegen seines (des) Übermuts und seiner Gottlosigkeit; denn dieser ahmte den Donner und den Blitz desselben nach und sagte zu den Menschen: Bringt mir die Opfer, denn ich bin (εἰμί) Zeus. 18. Die Barbaren warfen Geschosse und Steine über die Mauer und verwundeten viele von den Weibern und Kindern, welche die Häuser verlassen hatten, damit (ἵνα) sie sich durch die Flucht retteten (Opt. Aor. Pass.).

9.

1. Statt der Schiffe lieferten (παρέχω) die Bundesgenossen den Athenern Geld. 2. Seit dem Peloponnesischen Kriege herrschten (befehligten) die Lacedämonier über die Griechen (Gen.). 3. Die Mütter der Spartaner bejammerten nicht die Söhne, welche rühmlich (schön) kämpfend für das Vaterland gestorben waren. 4. Wegen des Reichtums werden die Menschen oft für glücklich gehalten; Solon aber hielt den Krösus, den König von Lydien, wegen seines (des) Reichtums nicht für glücklich. 5. Antalkidas war von den Lacedämoniern wegen des Friedens zum Großkönige entsandt worden. 6. Herodot sagt, daß Krösus, als er gegen Kyrus zu Felde ziehen wollte (Part.), viele Weihgeschenke nach Delphi geschickt habe. 7. Die Frommen blicken immer auf Gott; seitens der Gottlosen aber wird Gott nicht geliebt. 8. Die Griechen glaubten, daß die Menschen, welche den Göttern (Acc.) unrecht gethan haben, in der Unterwelt bestraft würden. 9. Mit Hilfe der Götter (mit den G.) werden wir uns gegen die Feinde (Acc.), welche den Vertrag gebrochen (gelöst) haben, verteidigen. 10. Themistokles sagte zu Eurybiades: Bei (in) dir steht (ist) es, Griechenland zu retten. 11. Wenn (ἐάν) wir immer den Gesetzen gemäß handeln

(Coni. Aor.), werden wir niemals bestraft werden; wenn (*ἐάν*) wir aber gegen (*παρά* mit Acc.) die Gesetze handeln (Coni. Aor.), werden uns die Richter oft strafen. 12. Als die Griechen durch das feindliche Land marschierten (Part.), waren sie wegen Mangels an Getreide (Gen.) oft in großer Gefahr, so daß (*ὥστε*) sie außer dem andern Unglück (Übeln) auch durch Hunger bisweilen in großer Verlegenheit waren. 13. Nach dem Siege marschierten die Griechen mit den Bundesgenossen in das Lager, welches neben dem Flusse war.

C. Coniunctiones.

10.

1. *Μαντεία ἦν, ὅτι Ἐρεχθεύς, ὁ τῆς Ἀττικῆς βασιλεύς, νικήσει τοὺς ἐχθρούς, ἐὰν τὴν πρεσβυτάτην τῶν θυγατέρων θύσῃ.* 2. *Οἱ Λακεδαιμόνιοι οὐ πρόσθεν ἐπαύσαντο πολεμοῦντες τοῖς Ἀθηναίοις, πρὶν πᾶσα ἡ πόλις ὡμολόγησε, τοὺς Λακεδαιμονίους ἡγεμόνας εἶναι.* 3. *Πολὺς ὕπνος οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ὠφέλιμός ἐστιν.* 4. *Μὴ δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον* (Rede) *ἀκούσῃς.* 5. *Μάνλιος, ὁ τῶν Ῥωμαίων στρατηγός, τὸν υἱὸν ἀπέκτεινεν, ὅτι ἐν τῷ πρὸς τοὺς Γαλάτας πολέμῳ παρὰ* (gegen) *τὸ παρηγγελμένον τῷ πολεμίῳ ἠγωνίσατο.* 6. *Μὴ ψεύδεσθε, ὦ παῖδες· θεὸς γὰρ πάντα ἀκούει, εἰ καὶ μηδεὶς τῶν ἀνθρώπων ἀκούσεται.* 7. *Φαλῖνός ποτε ἐπέμφθη παρὰ βασιλέως, κελεύσων τοὺς Ἕλληνας τὰ ὅπλα παραδοῦναι* (ausliefern)· *Κλέαρχος δὲ πρὸς αὐτὸν ἔλεξε. Σύ τε Ἕλλην εἶ* (du bist) *καὶ ἡμεῖς· συμβούλευσον οὖν ἡμῖν, ὅ, τι σοι φαίνεται κάλλιστον καὶ ἄριστον εἶναι· ἃ δ᾽ ἂν ἡμῖν συμβουλεύσῃς, δηλώσομεν ἐν τῇ Ἑλλάδι, ἵνα ἢ μεγάλης δόξης ἀξιωθῇς ἢ πάντες σε μέμψωνται. Ὁ δὲ Κλέαρχος ταῦτα ἔλεξε, βουλόμενος, καὶ αὐτὸν τὸν παρὰ βασιλέως πρεσβεύοντα συμβουλεῦσαι, μὴ παραδοῦναι τὰ ὅπλα, ὅπως εὐέλπιδες μᾶλλον εἶεν οἱ Ἕλληνες. Ὅμως δὲ ὁ Φαλῖνος ὑπέστρεψεν* (listig ausweichen).

11.

1. *Ὁ Σόλων πρὸς Κροῖσον, τὸν τῆς Λυδίας βασιλέα, ἔλεξεν· Οὐδεὶς τῶν ἀνθρώπων πρὸ τῆς τοῦ βίου τελευτῆς εὐδαίμων ἐστί· διὰ τοῦτό σε, καίπερ* (obgleich) *πλουσιώτατον ὄντα* (seiend) *πάντων τῶν ἀνθρώπων, εὐδαίμονα οὐχ ἡγήσομαι, πρὶν ἂν τὸν βίον*

εὖ τελευτήσῃς. 2. *Κῦρος τοῖς παρὰ βασιλέως πρὸς αὐτὸν ἀπεσταλμένοις βαρβάροις οὕτως ἐχαρίζετο, ὥστε μᾶλλον φίλους εἶναι ἑαυτῷ ἢ βασιλεῖ.* 3. *Κῦρος ἐκέλευσεν Ἀρίστιππον τὸν Θετταλὸν μὴ πρόσθεν καταλῦσαι τὸν πόλεμον πρὸς τοὺς ἐχθρούς, πρὶν ἂν αὐτῷ συμβουλεύσηται.* 4. *Ἐν Κελαιναῖς, τῆς Φρυγίας πόλει μεγάλῃ καὶ εὐδαίμονι, Κύρῳ ἦν παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε* (so oft) *γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους.* 5. *Κῦρος, ἔτι παῖς ὤν, ὅτε ἐπαιδεύετο καὶ σὺν τῷ ἀδελφῷ καὶ σὺν τοῖς ἄλλοις παισί, πάντων πάντα κράτιστος ἐνομίζετο· πάντες γὰρ οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται, ἔνθα πολλὴν μὲν σωφροσύνην, αἰσχρὸν δὲ οὐδὲν οὔτ᾽ ἀκούουσιν οὔτε θεῶνται. Θεῶνται δὲ οἱ παῖδες καὶ τοὺς τιμωμένους ὑπὸ βασιλέως καὶ ἄλλους ἀτιμαζομένους, ὥστ᾽ εὐθὺς παῖδες ὄντες παιδεύονται τό τε ἄρχειν καὶ τὸ ἄρχεσθαι.*

12.

1. Wir wissen (haben) euch sehr vielen Dank, weil ihr uns zur Tugend erzogen habt. 2. Der Feldherr sagte zu den Soldaten: Ihr werdet weder dem Vaterlande (Acc.) nützen, noch den Feinden (Acc.) schaden, wenn (*ἐάν*) ihr die in der Schlacht Besiegten verfolgt (Coni. Aor.); ich rate euch aber, in dem Lager zu bleiben und zu warten, bis die Feinde wieder erscheinen (Coni. Aor. mit *ἄν*). 3. Als Agesilaos in Asien mit den Persern Krieg führte (Gen. abs.), waren die Athener, obgleich sie von (*παρά* mit Gen.) den Persern kein (nicht) Geld empfangen (aufgenommen) hatten (Part.), doch zum Kriege gegen die Lakedämonier bereit (*πρόθυμος*), da sie glaubten (Part.), daß sie den Oberbefehl über die andern Staaten (Gen.) erhalten (befehligen) würden. 4. Die von den Römern abgeschickten Gesandten sagten: Wir fragen euch, ob ihr mit uns Krieg führen oder Frieden haben wollt; wenn ihr Frieden haben wollt, so befehlet eurem Feldherrn, unsere Bundesgenossen nicht (*μή*) zu verletzen. Die Karthager aber antworteten: Also wird kein (nicht) Friede sein (*ἔσται*), weil wir nicht aufhören werden, eure Bundesgenossen, welche uns verletzt haben, zu bestrafen (rächen Part).

13.

1. Dem Kyros schenkte, als er wegen des Soldes seiner (der) Soldaten in großer Verlegenheit war, Epyaxa, die Gemahlin des Königs

der Cilicier, viel Geld, so daß er Sold auf vier Monatte hatte. Darauf aber reisten sie, sowohl er selbst als auch Epyaxa, nach Tyriaion. Als aber Kyros daselbst auf Bitten (ἀξιοῦν Gen. abs.) dieser Frau eine Musterung des ganzen Heeres veranstaltet (gemacht Med.) hatte, befahl er den Griechen, sich so aufzustellen (ordnen Aor. Pass.), wie sie es zu einer Schlacht gewohnt waren (wie es ihnen Gesetz war). 2. Als Agesilaos mit einem großen Heere nach Asien marschiert war, schickte Tissaphernes, der Statthalter von Karien, Gesandte zu ihm und ließ (ihn) fragen (fragte), in welcher Absicht (was wollend) er von den Lakedämoniern nach Asien entsandt worden wäre (Opt.). Agesilaos aber antwortete, daß er abgeschickt worden sei, damit die in Asien (liegenden) Städte der Griechen von der Herrschaft (Gen.) der Perser frei würden (wären Opt.). Als die Gesandten dieses zurückgemeldet hatten (Gen. abs.), glaubte Tissaphernes, daß es am besten für ihn sei, mit Agesilaos (Dat.) einen Waffenstillstand (Vertrag) zu schließen (machen Aor. Med.), damit er während (in) dieser Zeit ein großes Heer vor dem Großkönige kommen lasse (Opt. Aor.). Als aber Tissaphernes den Waffenstillstand gebrochen (gelöst) hatte, sagte Agesilaos, daß er jenem viel Dank wisse (habe), weil er (dadurch) die Götter sich zu Feinden, den Griechen aber zu Bundesgenossen gemacht habe (Opt.).

Zwölfter Abschnitt.

Zusammenhängende Lesestücke mit regelmäßigen Verbalformen.

I. Cyrus und sein Großvater Astyages.

1.

Πατρὸς μὲν ὁ Κῦρος λέγεται εἶναι Καμβύσου, Περσῶν βασιλέως, μητρὸς δὲ Μανδάνης· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων βασιλέως. Κῦρος μὲν μέχρι[1] *δώδεκα ἐτῶν τῇ τῶν Περσῶν παιδείᾳ ἐπαιδεύετο καὶ πάντων τῶν ἡλίκων*[2]

1) bis. 2) ἧλιξ Altersgenosse.

διέφερε[3] καὶ εἰς[4] τὸ ταχέως μανθάνειν[5] καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. Κατὰ δὲ τοῦτον τὸν χρόνον μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα καὶ τὸν παῖδα αὐτῆς· ὁρᾶν γὰρ ἐπεθύμει[6], ὅτι ἤκουε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. Ἔρχεται[7] δ᾽ αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα καὶ Κῦρον τὸν υἱὸν ἔχουσα. Κῦρος δέ, ὡς τάχιστα[8] ἑωράκει τὸν τῆς μητρὸς πατέρα, εὐθὺς ἠσπάζετο αὐτόν· ὁρῶν δὲ αὐτὸν κάλλιστα κεκοσμημένον ἔλεγεν ἐμβλέπων αὐτῷ· Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος![9] Ἐρωτησάσης δὲ μητρός, πότερος[10] καλλίων αὐτῷ δοκεῖ[11] εἶναι, ὁ πατὴρ ἢ οὗτος, ἀπεκρίνατο ὁ Κῦρος· Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατήρ, Μήδων δέ, ὅσους ἑώρακα καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ ταῖς θύραις, οὗτος ὁ ἐμὸς πάππος πολὺ κάλλιστός ἐστιν.

2.

Ἀσπασάμενος δὲ ὁ πάππος αὐτὸν ἐνέδυσε[1] στολὴν[2] καὶ κάλλιστα ἐκόσμει, καὶ εἴ που ἐξελαύνοι[3], ἐφ᾽ ἵππου χρυσοχαλίνου[4] περιῆγεν[5], ὥσπερ καὶ αὐτὸς ἐπορεύετο. Ὁ δὲ Κῦρος ἥδετο[6] τῇ τε στολῇ καὶ τῷ ἱππεύειν· ἐν Πέρσαις γὰρ καὶ (auch nur) ὁρᾶν ἵππον σπάνιόν[7] ἐστι διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους καὶ ἱππεύειν ἐν ὀρεινῇ τῇ χώρᾳ. Δειπνῶν δὲ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα μὴ οἴκαδε ποθοίη[8], προσάγει[9] αὐτῷ πολλά τε καὶ παντοῖα σιτία. Ταῦτα δὲ ἑωρακὼς ὁ Κῦρος ἔλεξεν· Ὦ πάππε, ὅσα πράγματα ἔχεις[10] ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοί ἐστιν ἐπὶ πάντα ταῦτα διατείνειν[11] τὰς χεῖρας καὶ γεύεσθαι τούτων τῶν παντοίων σιτίων.

3.

Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο, ὡς πορευσομένη πάλιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο[1] αὐτῆς ὁ Ἀστυάγης καταλείπειν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἅπαντα τῷ πατρὶ

---

3) sich auszeichnen. 4) in Beziehung auf. 5) lernen. 6) ἐπιθυμεῖν begehren. 7) gehen. 8) ὡς τάχιστα sobald als. 9) Großvater. 10) welcher von beiden. 11) scheinen.

1) ἐνδύω anziehen. 2) Kleid. 3) ausreiten. 4) mit goldenen Zügeln. 5) περιάγω umherführen. 6) ἥδομαι sich freuen. 7) selten. 8) οἴκαδε ποθεῖν sich nach Hause sehnen. 9) vorsetzen. 10) πράγματα ἔχειν Mühe haben. 11) ausstrecken.

1) δεῖσθαι bitten.

χαρίζεσθαι, νομίζοι δὲ χαλεπὸν εἶναι τὸν παῖδα ἄκοντα[2] καταλείπειν. Ἔνθα δὲ ὁ Ἀστυάγης λέγει πρὸς τὸν Κῦρον· Ὦ παῖ, ἐὰν μένῃς παρ᾽ ἐμοί, ἐπὶ τῶν ἐμῶν ἵππων ἱππεύσεις καὶ ἐν τῷ παραδείσῳ θηρεύσῃ τὰ θηρία ὥσπερ οἱ μεγάλοι ἄνδρες, καὶ τὰ ἄλλα ποιήσω, οἷς ἡσθήσῃ. Ἐπεὶ δὲ ταῦτα ἔλεξεν ὁ Ἀστυάγης, ἡ μήτηρ ἠρώτησε τὸν Κῦρον, πότερον βούλοιτο μένειν παρὰ τῷ πάππῳ ἢ σὺν ἑαυτῇ πάλιν πορεύεσθαι πρὸς τὸν πατέρα. Ὁ δὲ ταχέως ἀπεκρίνατο, ὅτι μένειν βούλοιτο. Ἐρωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρός, διὰ τί μένειν βούλοιτο, ἀπεκρίνατο· Ὅτι οἴκοι[3] μὲν τῶν ἡλίκων κράτιστός εἰμι, ὦ μῆτερ, καὶ ἀκοντίζων καὶ τοξεύων· ἐνταῦθα δὲ ἱππεύων ἥσσων εἰμὶ τῶν ἡλίκων, καὶ τοῦτό με, ὦ μῆτερ, πάνυ λυπεῖ. Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει[4] ὁ Κῦρος· τέλος[5] δὲ ἡ μὲν μήτηρ πάλιν οἴκαδε ἐπορεύετο πρὸς τὸν ἄνδρα, Κῦρος δὲ ἔμενε παρὰ τῷ πάππῳ καὶ αὐτοῦ ἐτρέφετο.

II. Des jüngeren Cyrus Feldzug gegen seinen Bruder Artaxerxes

4.

Δαρείου καὶ Παρυσάτιδος ἦσαν παῖδες δύο· πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος. Ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε[1] τὴν τελευτὴν τοῦ βίου, ἐβούλετο τὼ παῖδε ἀμφοτέρω παρεῖναι[2]. Ὁ μὲν οὖν πρεσβύτερος παρῆν, Κῦρον δὲ μετεπέμψατο ἀπὸ τῆς ἀρχῆς[3], ἧς σατράπην αὐτὸν ἐποίησεν. Ἀναβαίνει[4] οὖν ὁ Κῦρος σὺν Τισσαφέρνει, ὃν ἑαυτῷ φίλον εἶναι νομίζει. Ἐπειδὴ δέ, Δαρείου τελευτήσαντος, Ἀρταξέρξης ἐβασίλευσε, Τισσαφέρνης διαβάλλει[5] τὸν Κῦρον πρὸς τὸν ἀδελφόν, ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ δὲ πείθεταί τε καὶ συλλαμβάνει[6] Κῦρον, ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐτὸν ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν. Ὁ δὲ κινδυνεύσας καὶ ἀτιμασθεὶς βουλεύεται, ὅπως ἀντὶ ἐκείνου βασιλεύσει. Παρύσατις δὲ ἡ μήτηρ ὑπῆρχε[7] τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. Τοῖς δὲ παρὰ βασιλέως πρὸς αὐτὸν ἀπεσταλμένοις οὕτως ἐχαρίζετο, ὥσθ᾽ ἑαυτῷ μᾶλλον

---

2) ἄκων wider Willen. 3) zu Hause. 4) λαλεῖν schwatzen. 5) endlich.

1) ὑποπτεύω vermuten. 2) zugegen sein. 3) Statthalterschaft. 4) hinaufgehen von dem Küstenlande nach dem Binnenlande. 5) verleumden. 6) ergreifen lassen. 7) behilflich sein.

φίλους εἶναι ἢ βασιλεῖ. Καὶ τῶν παρ' ἑαυτῷ βαρβάρων ἐφρόντιζεν, ὡς πολεμεῖν τε ἱκανοὶ εἴησαν καὶ φιλίως ἔχοιεν αὐτῷ. Τῶν δὲ Ἑλλήνων στράτευμα ἤθροιζεν, ὡς μάλιστα ἐδύνατο ἀποκρυπτόμενος, ἵνα μὴ βασιλεύς, ἀκούσας τὸν στόλον, ἀντιπαρασκευάζοιτο [8].

5.

Πρῶτον μὲν οὖν παρήγγειλε τοῖς φρουράρχοις [1] τῶν ἐν ταῖς Ἰωνικαῖς πόλεσι φυλακῶν, ἐκ τῶν Πελοποννησίων ἄνδρας ὡς πλείστους καὶ βελτίστους ἀθροίζειν, ὡς ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσιν. Ἄλλο δὲ στράτευμα αὐτῷ συνέλεξε Κλέαρχος, Λακεδαιμόνιος φυγάς, ἀπὸ τῶν χρημάτων, ἃ Κῦρος αὐτῷ ἐδωρήσατο, καὶ τοῦτο τὸ στράτευμα ἔχων ἐπολέμει τοῖς Θρᾳξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσιν, οἳ τοὺς ἐκεῖ Ἕλληνας ἠδίκουν. Ἀρίστιππος δὲ ὁ Θετταλός, ξένος ὢν τῷ Κύρῳ, πιεζόμενος [2] ὑπὸ τῶν οἴκοι [3] ἐχθρῶν, ᾔτησεν αὐτὸν δισχιλίους ξένους καὶ τριῶν μηνῶν μισθόν· οὕτω γὰρ ἤλπιζε τῶν ἐχθρῶν κρατήσειν. Ὁ δὲ Κῦρος δωρεῖται αὐτῷ τετρακισχιλίους ξένους καὶ ἓξ μηνῶν μισθόν, καὶ συμβουλεύει αὐτῷ μὴ πρόσθεν καταλῦσαι τὸν πόλεμον πρὸς τοὺς ἐχθρούς, πρὶν ἂν αὐτῷ συμβουλεύσηται. Οὕτω δὲ τὸ ἐν τῇ Θετταλίᾳ στράτευμα αὐτῷ ἐτρέφετο. Πρόξενον δὲ τὸν Βοιώτιον, ξένον ὄντα αὐτῷ, ἐκέλευσεν ἀθροίζειν ἄνδρας ὅτι πλείστους, ὡς ἐπὶ τοὺς Πισίδας βουλόμενος στρατεύεσθαι, κακῶς ποιοῦντας τὴν ἑαυτοῦ χώραν. Σοφαίνετον δὲ τὸν Στυμφάλιον καὶ Σωκράτη τὸν Ἀχαιόν, ξένους ὄντας καὶ τούτους, ἐκέλευσεν ἄνδρας συλλέξαι ὅτι πλείστους, ὡς πολεμήσων Τισσαφέρνει σὺν τοῖς φυγάσι τῶν Μιλησίων. Καὶ ἐποίουν οὕτως οὗτοι.

6.

Ὁ μὲν Κῦρος οὖν ἤλπιζε, βασιλέα ἀπαρασκεύαστον [1] ἂν εἶναι· ὁ δὲ Τισσαφέρνης, τὰ πεπραγμένα ἑωρακὼς καὶ ὑποπτεύσας, ὅτι Κῦρος οὐκ ἐπὶ τοὺς Πισίδας, ἀλλ' ἐπὶ βασιλέα στρατεύσαιτο, ὡς τάχιστα πορεύεται παρὰ βασιλέα, ἱππέας ἔχων πεντακοσίους, καὶ μηνύει αὐτῷ τὸν τοῦ ἀδελφοῦ στόλον. Καὶ βασιλεὺς μέν, ἐπεὶ ἤκουσε παρὰ Τισσαφέρνους τὸν Κύρου στόλον, ἀντιπαρεσκευάζετο.

---

8) sich dagegen rüsten.

1) Befehlshaber einer Besatzung. 2) bedrängen. 3) zu Hause.

1) ungerüstet.

Ὁ δὲ Κῦρος, ἐπειδὴ τοὺς μὲν τῶν στρατιωτῶν εἰς Σάρδεις ἤθροισε, τοὺς δὲ ὡς τάχιστα παρεῖναι[2] ἐκέλευσεν, ὡς[3] σὺν αὐτοῖς ἐπὶ τοὺς Πισίδας στρατευσόμενος, ἐξελαύνει[4] διὰ τῆς Λυδίας σταθμοὺς[5] τρεῖς παρασάγγας[6] εἴκοσι καὶ δύο ἐπὶ τὸν Μαίανδρον ποταμόν. Μετὰ δὲ τὴν διάβασιν τούτου τοῦ ποταμοῦ (γέφυρα δὲ ἦν ἐπ᾽ αὐτῷ) ἐξελαύνει διὰ τῆς Φρυγίας σταθμὸν ἕνα παρασάγγας ὀκτὼ εἰς Κολοσσάς, πόλιν οἰκουμένην, εὐδαίμονα καὶ μεγάλην. Ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά· καὶ ἧκε[7] Μένων ὁ Θετταλὸς ὁπλίτας ἔχων χιλίους καὶ πελταστὰς[8] πεντακοσίους. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας εἴκοσιν εἰς Κελαινάς, τῆς Φρυγίας πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα Κύρῳ βασίλεια[9] ἦν καὶ παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀφ᾽ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτὸν καὶ τοὺς ἵππους. Ἐνταῦθ᾽ ἔμεινε Κῦρος ἡμέρας τριάκοντα· καὶ ἧκε Κλέαρχος ὁ Λακεδαιμόνιος, ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷκας ὀκτακοσίους καὶ τοξότας Κρῆτας διακοσίους. Ἅμα[10] δὲ καὶ Σωσίας παρῆν ὁ Συρακόσιος, ἔχων ὁπλίτας τριακοσίους, καὶ Σοφαίνετος ὁ Ἀρκάς, ἔχων ὁπλίτας χιλίους. Καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἦσαν οἱ σύμπαντες[11] ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ δισχίλιοι. Οἱ δὲ στρατιῶται, διὰ τῆς Φρυγίας πορευόμενοι, οὐκ εἶχον, ὅτου (οὗτινος) τὰ ἐπιτήδεια[12] ὠνήσονται. Κῦρος γὰρ ὤφειλεν[13] αὐτοῖς τὸν μισθὸν τριῶν μηνῶν· πολλοὶ δὲ τὸν μισθὸν ᾔτουν, ὥστε Κῦρος ἐν μεγάλῃ ἀπορίᾳ ἦν. Ἐνταῦθα δὲ Ἐπύαξα, ἡ Συεννέσιος γυνή, τοῦ Κιλίκων βασιλέως, Κύρῳ πολλὰ χρήματα δωρήσασθαι λέγεται, ὥστε μισθὸν εἶχε τεττάρων μηνῶν.

7.

Ὁ Κῦρος, διὰ τῆς Βαβυλωνίας πορευόμενος, ἐξέτασιν ἐποιεῖτο τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐν τῷ πεδίῳ περὶ μέσας νύκτας· ἐνόμιζε γάρ, βασιλέα μετ᾽ ὀλίγον χρόνον σὺν τῷ στρατεύματι ἥξειν·

---

2) da sein. 3) angeblich um. 4) marschieren. 5) Tagemarsch. 6) *παρασάγγης, ου* ein Wegemaß von 30 Stadien (Stad. 600 griech Fuß), drei Viertel einer geographischen Meile. 7) *ἥκω* ich bin gekommen. 8) *πελταστής, οῦ* ein Leichtbewaffneter mit einer *πέλτη* (ein kleiner halbmondförmiger Schild, mit Ziegenleder überzogen) und Wurfspeeren. 9) *τὰ βασίλεια* das königliche Schloß. 10) zugleich. 11) im ganzen. 12) Lebensmittel. 13) *ὀφείλω* schuldig sein.

καὶ ἐκέλευσε Κλέαρχον μὲν τοῦ δεξιοῦ κέρως ἡγεῖσθαι, Μένωνα δὲ τὸν Θετταλὸν τοῦ εὐωνύμου (ἀριστεροῦ), αὐτὸς δὲ τοὺς ἑαυτοῦ ἔταξε. Μετὰ δὲ τὴν ἐξέτασιν ἅμα τῇ ὑστεραίᾳ (ἡμέρᾳ) ἧκον αὐτόμολοι[1] παρὰ βασιλέως καὶ ἀπήγγελλον Κύρῳ περὶ τῆς βασιλέως στρατιᾶς. Κῦρος δὲ συλλέξας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς[2] τῶν Ἑλλήνων συνεβουλεύετο, πῶς ἂν τὴν μάχην ποιοῖτο. Συμβουλευσάμενος δὲ αὐτοῖς ἐξελαύνει σταθμὸν ἕνα τεταγμένῳ τῷ στρατεύματι παντὶ καὶ τῷ Ἑλληνικῷ καὶ τῷ βαρβαρικῷ· ᾤετο γάρ, ταύτῃ τῇ ἡμέρᾳ ἥξειν βασιλέα. Τοῦτο δὲ Κῦρος ἐψεύσθη· βασιλεὺς γὰρ οὐκ ἐφάνη, ἀλλ᾽ ἀναχωρούντων φανερὰ ἦν πολλὰ ἴχνη[3] καὶ ἵππων καὶ ἀνθρώπων. Διὰ τοῦτο Κῦρος, ὡς βασιλέως ἀναχωρήσαντος, τῶν πολεμίων ἠμέλει, καὶ τὸ στράτευμα αὐτοῦ ἐπορεύετο οὐ τεταγμένον, καὶ πολλὰ τῶν ὅπλων τοῖς στρατιώταις ἐπὶ ἁμαξῶν ἦν.

8.

Καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν[1] καὶ πλησίον[2] ἦν ὁ σταθμός[3], ἔνθα Κῦρος ἔμελλε καταλύσειν[4], καὶ Παταγύας, ἀνὴρ Πέρσης τῶν ἀμφὶ Κῦρον πιστῶν, ἀπαγγέλλει, ὅτι βασιλεὺς σὺν στρατεύματι πολλῷ ἐφάνη, ὡς εἰς μάχην παρεσκευασμένος. Τούτου δὲ ἀπαγγελθέντος, πάντες πάνυ τεταραγμένοι ἦσαν, νομίζοντες, βασιλέα αὐτίκα ἥξειν. Καὶ Κῦρος καταπηδήσας[5] ἀπὸ τοῦ ἅρματος τὸν θώρακα ἐνδύεται[6] καὶ ἀναβαίνει ἐπὶ τὸν ἵππον, τοῖς δὲ ἄλλοις πᾶσι παραγγέλλει ὡς τάχιστα ὁπλίζεσθαι καὶ τάττεσθαι. Ἔνθα δὲ σὺν πολλῇ σπουδῇ ἐτάττοντο. Καὶ ἤδη τε ἦν μέσον ἡμέρας, καὶ οὔπω ἐφαίνοντο οἱ πολέμιοι· ἐξαπίνης[7] δὲ ἐφάνη κονιορτὸς[8] ὥσπερ νεφέλη λευκή, μετὰ δὲ ὀλίγον χρόνον ὥσπερ μέλαινα ἐν τῷ πεδίῳ. Ταχέως δὲ καὶ χαλκὸς ἤστραπτε, καὶ αἱ λόγχαι καὶ αἱ τάξεις ἐφαίνοντο. Ἐν ταύτῃ τῇ μάχῃ οἱ μὲν Ἕλληνες, τὸ δεξιὸν κέρας ἔχοντες, τοὺς βαρβάρους ἐνίκησαν καὶ εἰς φυγὴν ἔτρεψαν, ὁ δὲ Κῦρος, τῶν ἀμφὶ αὐτὸν ἑξακοσίων διεσπαρμένων εἰς τὸ τοὺς φεύγοντας διώκειν, ἐτελεύτησεν. Ἐνταῦθα Κύρου ἀποτέμνεται[9] ἡ κεφαλὴ καὶ χεὶρ ἡ δεξιά. Βασιλεὺς δὲ καὶ

---

1) Überläufer. 2) Hauptmann. 3) *ἴχνος, τό* die Spur.

1) *ἀγορὰ πλήθουσα* die Zeit, wo der Markt voller Menschen ist (10—12 Uhr). 2) nahe. 3) der Rastort. 4) *καταλύειν (τὴν πορείαν)* den Marsch beendigen, d. i. Halt machen. 5) *καταπηδάω* herabspringen. 6) anziehen. 7) plötzlich. 8) Staubwirbel. 9) abschneiden.

οἱ σὺν αὐτῷ διώκοντες εἰςπίπτουσιν[10] εἰς τὸ Κυρεῖον στρατόπεδον· καὶ οἱ μὲν μετὰ Ἀριαίου, τοῦ Κύρου στρατηγοῦ, οὐκέτι μένουσιν ἐν τῷ στρατοπέδῳ, ἀλλὰ φεύγουσι διὰ τοῦ στρατοπέδου εἰς τὸν σταθμόν, ἔνθεν[11] ὥρμηντο[12]· τέτταρες δ᾽ ἐλέγοντο παρασάγγαι εἶναι τῆς ὁδοῦ. Βασιλεὺς δὲ καὶ οἱ σὺν αὐτῷ τὸ στρατόπεδον διαρπάζουσιν[13].

9.

Ἅμα δὲ τῇ ἡμέρᾳ οἱ στρατηγοὶ τῶν Ἑλλήνων συλλεγόμενοι ἐθαύμαζον, ὅτι Κῦρος οὔτε ἄλλον πέμποι σημανοῦντα, ὅτι παραγγείλαι, οὔτε αὐτὸς φαίνοιτο. Διὰ τοῦτο οὖν ἐψηφίσαντο ὡπλισμένοι εἰς τὸ πρόσθεν πορεύεσθαι, ἕως Κύρῳ ἀπαντήσειαν. Πορευομένοις δὲ ἤγγειλαν δύο ἄνδρες, ὑπ᾽ Ἀριαίου πεμφθέντες, ὅτι Κῦρος μὲν τελευτήσειεν, Ἀριαῖος δὲ ἐν φυγῇ εἴη μετὰ τῶν ἄλλων βαρβάρων καὶ λέγοι, ὅτι ταύτην μὲν τὴν ἡμέραν ἀναμείνειεν ἂν αὐτούς, εἰ μέλλοιεν ἥξειν, τῇ δὲ ἄλλῃ πορεύσεσθαι ἐπὶ τῆς Ἰωνίας. Ταῦτα ἀκούσαντες οἱ στρατηγοὶ καὶ οἱ ἄλλοι Ἕλληνες βαρέως ἔφερον. Κλέαρχος δὲ ἀπεκρίνατο· Πάνυ μὲν λυπούμεθα, ὅτι Κῦρος ἐτελεύτησεν· ἐπεὶ δὲ τετελεύτηκεν, ἀπαγγέλλετε Ἀριαίῳ, ὅτι ἡμεῖς γε[1] νικῶμεν βασιλέα, οὐδεὶς δέ, ὡς ὁρᾶτε, ἔτι ἡμῖν μάχεται[2]· καὶ εἰ μὴ ὑμεῖς ταῦτα ἠγγείλατε, ἐπορευόμεθα ἂν ἐπὶ βασιλέα. Ἀπαγγέλλετε δὲ καὶ τοῦτο Ἀριαίῳ, ὅτι ἡμεῖς, ἐὰν σπείσηται ἡμῖν πολεμήσειν βασιλεῖ, εἰς τὸν θρόνον τὸν βασίλειον καθίζειν[3] βουλόμεθα αὐτόν· τῶν γὰρ νικώντων καὶ τὸ ἄρχειν ἐστίν. Ταῦτα δὲ λέξας ἀποστέλλει τοὺς ἀγγέλους καὶ σὺν αὐτοῖς Χειρίσοφον τὸν Λάκωνα καὶ Μένωνα τὸν Θετταλόν· καὶ γὰρ αὐτὸς Μένων ἐβούλετο· ἦν γὰρ φίλος καὶ ξένος Ἀριαίου.

10.

Καὶ ἤδη τε ἦν περὶ πλήθουσαν ἀγορὰν καὶ ἔρχονται παρὰ βασιλέως καὶ Τισσαφέρνους κήρυκες, οἱ μὲν ἄλλοι βάρβαροι, εἷς δ᾽ αὐτῶν, Φαλῖνος, Ἕλλην ἦν. Οὗτοι δὲ πρὸς τοὺς τῶν Ἑλλήνων στρατηγοὺς λέγουσιν, ὅτι βασιλεὺς κελεύει τοὺς Ἕλληνας

---

10) eindringen. 11) von wo. 12) ὁρμᾶσθαι aufbrechen. 13) plündern.
1) wenigstens. 2) kämpfen. 3) setzen.

παραδοῦναι[1] τὰ ὅπλα, ἐὰν ἀγαθόν τι ἐλπίζωσιν. Ταῦτα μὲν ἔλεγον οἱ βασιλέως κήρυκες· οἱ δὲ Ἕλληνες βαρέως μὲν ἤκουσαν, ὅμως δὲ Κλέαρχος ἀπεκρίνατο, ὅτι οὐκ εἴη τῶν νικώντων τὰ ὅπλα παραδοῦναι. Πρόξενος δὲ Θηβαῖος· Ἀλλ᾽ ἐγώ, ἔφη, ὦ Φαλῖνε, ἐρωτῶ σε, πότερον ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ ὅπλα ἢ ὡς διὰ φιλίαν δῶρα. Εἰ μὲν γὰρ ὡς κρατῶν, τί δεῖ[2] αὐτὸν αἰτεῖν, εἰ δὲ ὡς διὰ φιλίαν δῶρα, λεγέτω, τί ἔσται τοῖς στρατιώταις, ἐὰν αὐτῷ ταῦτα χαρίσωνται. Πρὸς ταῦτα Φαλῖνος ἀπεκρίνατο· Βασιλεὺς νικᾶν ἡγεῖται, ἐπεὶ Κῦρος ἐτελεύτησε. Τίς γὰρ αὐτῷ ἐστιν, ὅστις τῆς ἀρχῆς ἀντιποιεῖται[3]; Νομίζει δὲ καὶ ὑμᾶς ἑαυτοῦ εἶναι[4], ἔχων ὑμᾶς ἐν μέσῃ τῇ ἑαυτοῦ χώρᾳ. Μετὰ τοῦτον Ξενοφῶν Ἀθηναῖος ἔλεξε τάδε· Ὦ Φαλῖνε, νῦν, ὡς σὺ ὁρᾷς, ἡμῖν οὐδὲν ἄλλο ἐστὶν ἀγαθόν, εἰ μὴ ὅπλα καὶ ἀρετή. Μὴ οὖν οἴου, βασιλέα ἡμᾶς πείσειν τὰ ὅπλα παραδοῦναι. Ξενοφῶντος δὲ ταῦτα λέξαντος, Φαλῖνος, ὦ Κλέαρχε, ἔφη, οὗτοι μὲν ἄλλος ἄλλα λέγουσι, σὺ δ᾽ ἡμῖν ἀποφαίνου[5] τὴν σεαυτοῦ γνώμην. Ὁ δ᾽ ἀπεκρίνατο· Ἐγώ σε, ὦ Φαλῖνε, ἄσμενος[6] ἑώρακα, οἴομαι δὲ καὶ οἱ ἄλλοι πάντες· σύ τε γὰρ Ἕλλην εἶ[7] καὶ ἡμεῖς, ὅσους σὺ ὁρᾷς· ἐν τοιούτοις δὲ ὄντες πράγμασι συμβουλευόμεθά σοι, τί χρὴ[8] ποιεῖν. Σὺ οὖν συμβούλευσον ἡμῖν, ὅ, τι σοι δοκεῖ[9] κάλλιστον καὶ ἄριστον εἶναι. Ἐὰν δὲ τοῦτο ποιήσῃς, πάντες οἱ Ἕλληνες μεγάλαις τιμαῖς σε τιμήσουσι καὶ λέξουσιν, ὅτι Φαλῖνος πεμφθείς ποτε παρὰ βασιλέως, κελεύσων τοὺς Ἕλληνας τὰ ὅπλα παραδοῦναι, συμβουλευομένοις ἄριστα καὶ κάλλιστα συνεβούλευσεν. Ὁ δὲ Κλέαρχος αὐτὸν τοῦτο ἠρώτησε, βουλόμενος, καὶ αὐτὸν τὸν παρὰ βασιλέως πρεσβεύοντα συμβουλεῦσαι μὴ παραδοῦναι τὰ ὅπλα, ὅπως εὐέλπιδες μᾶλλον εἶεν οἱ Ἕλληνες. Φαλῖνος δὲ ὑποστρέψας[10] παρὰ[11] τὴν δόξαν αὐτοῦ ἔλεξε τάδε.

11.

Ἐγώ, εἰ μὲν τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι, σωθῆναι πολεμοῦντας βασιλεῖ, συμβουλεύω μὴ παραδοῦναι τὰ ὅπλα·

---

1) strecken. 2) es ist nötig. 3) *ἀντιποιεῖσθαί τινί τινος* einem etwas streitig machen. 4) *εἶναί τινος* jemandes Eigentum sein. 5) erklären. 6) gern. 7) du bist. 8) es ist nötig. 9) scheinen. 10) listig ausweichen. 11) gegen.

εἰ δὲ μηδεμία σωτηρίας ἐστὶν ἐλπὶς ἄκοντος[1] βασιλέως, συμβουλεύω ὑμῖν σώζεσθαι, ὅπῃ[2] δυνατόν. Κλέαρχος δὲ πρὸς ταῦτα ἀπεκρίνατο· Ἀλλὰ ταῦτα μὲν σὺ λέγεις· παρ᾽ ἡμῶν δὲ ἀπάγγελλε τάδε, ὅτι ἡμεῖς οἰόμεθα, εἰ μὲν δέοι βασιλεῖ φίλους εἶναι, πλείονος ἂν ἄξιοι εἶναι φίλοι ἔχοντες τὰ ὅπλα ἢ παραδόντες ἄλλῳ· εἰ δὲ δέοι πολεμεῖν, ἄμεινον ἂν πολεμεῖν ἔχοντες τὰ ὅπλα ἢ ἄλλῳ παραδόντες. Ὁ δὲ Φαλῖνος ἔλεξε· Ταῦτα μὲν ἀπαγγελοῦμεν βασιλεῖ· ἀλλὰ καὶ τάδε ὑμῖν λέγειν ἐκέλευσε βασιλεύς, ὅτι μένουσι μὲν ὑμῖν αὐτοῦ σπονδαὶ εἴησαν, εἰ δὲ μή, πόλεμος. Λέγετε οὖν καὶ περὶ τούτου, πότερον μενεῖτε καὶ σπονδαὶ ἔσονται[3] ἢ εἰς τὸ πρόσθεν πορεύσεσθε καὶ πόλεμος ἔσται. Κλέαρχος δ᾽ ἀπεκρίνατο· Ἀπάγγελλε οὖν καὶ περὶ τούτου, ὅτι καὶ ἡμῖν ταὐτὰ δοκεῖ, ἃ καὶ βασιλεῖ. Τί οὖν ταῦτά ἐστιν; ἔφη ὁ Φαλῖνος. Ἀπεκρίνατο ὁ Κλέαρχος· Ἐὰν μὲν μένωμεν, σπονδαί, ἐὰν δὲ πορευώμεθα, πόλεμος. Ὁ δὲ πάλιν ἠρώτησε· Σπονδὰς ἢ πόλεμον ἀπαγγελῶ; Κλέαρχος δὲ ταὐτὰ πάλιν ἀπεκρίνατο· Σπονδαὶ μὲν μένουσι, πορευομένοις δὲ πόλεμος. Ὅ, τι δὲ ποιήσοι, οὐκ ἐσήμηνεν αὐτῷ.

12.

Ταῦτα δὲ ἀπήγγειλαν βασιλεῖ Φαλῖνος καὶ οἱ σὺν αὐτῷ. Οἱ δὲ παρὰ Ἀριαίου ἧκον, Προκλῆς καὶ Χειρίσοφος· Μένων δὲ αὐτοῦ ἔμεινε παρὰ Ἀριαίῳ· οὗτοι δὲ ἔλεγον· Ἀριαῖος ὑμῖν ἀπαγγέλλει, πολλοὺς Πέρσας ἑαυτοῦ βελτίους εἶναι, οἳ ἂν κωλύσειαν αὐτὸν μὴ βασιλεῦσαι· ἀλλ᾽ εἰ βούλεσθε αὐτῷ ἀκολουθεῖν, κελεύει ὑμᾶς ἤδη νυκτὸς ἥκειν, εἰ δὲ μή, αὐτὸς πρῴ[1] εἰς τὸ πρόσθεν πορεύσεται. Ὁ δέ Κλέαρχος οὐδὲ τούτοις ἐσήμηνεν, ὅ,τι ποιήσοι. Μετὰ δὲ ταῦτα συλλέξας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς συνεβουλεύσατο αὐτοῖς, τί χρὴ ποιεῖν· αὐτὸς δὲ συνεβούλευσεν ἀκολουθῆσαι Ἀριαίῳ. Ταῦτα δὲ ἀκούσαντες οἱ στρατηγοὶ καὶ οἱ λοχαγοὶ ἐπείθοντο αὐτῷ. Πορευθέντες δὲ παρὰ Ἀριαῖον ἐσπείσαντο οἵ τε Ἕλληνες καὶ ὁ Ἀριαῖος καὶ οἱ κράτιστοι τῶν σὺν αὐτῷ, σύμμαχοι ὄντες ἀλλήλους μὴ ἀδικήσειν.

---

1) ἄκων, οντος nicht wollend (wider Willen), Gen. abs. 2) auf welche Weise. 3) sein wird.

1) frühmorgens.

13.

Μετὰ δὲ ὀλίγον χρόνον παρὰ βασιλέως ἧκε Τισσαφέρνης καὶ ὁ τῆς βασιλέως γυναικὸς ἀδελφὸς καὶ ἄλλοι Πέρσαι τρεῖς· δοῦλοι δὲ πολλοὶ εἵποντο. Ἐπεὶ δὲ ἀπήντησαν αὐτοῖς οἱ τῶν Ἑλλήνων στρατηγοί, ἔλεγε πρῶτος Τισσαφέρνης δι᾽ ἑρμηνέως τοιάδε· Ἐγώ, ὦ ἄνδρες Ἕλληνες, γείτων[1] οἰκῶ τῇ Ἑλλάδι· καὶ ἐπεὶ ἤκουσα, ὑμᾶς ἤδη πολλοὺς κινδύνους κινδυνεῦσαι, παρὰ βασιλέως ᾐτησάμην, σῶσαι ὑμᾶς εἰς τὴν Ἑλλάδα. Βασιλεὺς δέ, χαριζόμενός μοι, ὅτι Κῦρον στρατεύοντα ἐπ᾽ αὐτὸν πρῶτος ἤγγειλα, ἐκέλευσέ με ὑμᾶς ἐρωτᾶν, διὰ τί ἐστρατεύσατε ἐπ᾽ αὐτόν. Καὶ συμβουλεύω ὑμῖν μετρίως[2] ἀποκρίνασθαι, ἵνα ἀγαθόν τι ὑμῖν παρ᾽ αὐτοῦ διαπράξωμαι[3]. Πρὸς δὲ ταῦτα ἀπεκρίνατο Κλέαρχος· Ἐπεὶ Κῦρος ἐτελεύτησεν, οὔτε βασιλεῖ ἀντιποιούμεθα[4] τῆς ἀρχῆς οὔτε τὴν βασιλέως χώραν κακῶς ποιήσομεν, εἰ μὴ ἡμᾶς λυπεῖ· τοὺς δὲ ἀδικοῦντας πειρασόμεθα σὺν τοῖς θεοῖς ἀμύνασθαι. Κλεάρχου δὲ ταῦτα ἀποκριναμένου, ὁ Τισσαφέρνης ἔλεξε· Ταῦτα ἐγὼ ἀπαγγελῶ βασιλεῖ, καὶ ὑμῖν πάλιν τὰ παρ᾽ ἐκείνου· ἕως δ᾽ ἂν ἐγὼ ἥκω, αἱ σπονδαὶ μενόντων. Καὶ εἰς μὲν τὴν ὑστεραίαν οὐχ ἧκεν, ὥςθ᾽ οἱ Ἕλληνες ἐφρόντιζον· τῇ δὲ τρίτῃ ἡμέρᾳ ἥκων ἔλεγεν, ὅτι διαπεπραγμένος ἥκοι παρὰ βασιλέως, σώζειν τοὺς Ἕλληνας, καίπερ[5] πάνυ πολλῶν ἀντιλεγόντων[6], ὡς οὐκ ἄξιον εἴη βασιλεῖ, τοὺς ἐφ᾽ ἑαυτὸν στρατευσαμένους οὐ τιμωρήσασθαι. Ταῦτα δὲ ἀκούσαντες οἱ τῶν Ἑλλήνων στρατηγοὶ καὶ λοχαγοί, πιστεύοντες Τισσαφέρνει, ἐσπείσαντο αὐτῷ τε καὶ τῷ τῆς βασιλέως γυναικὸς ἀδελφῷ, μὴ ἀδικήσειν ἀλλήλους.

14.

Οἱ δὲ στρατιῶται τῶν Ἑλλήνων, καίπερ σπεισάμενοι Τισσαφέρνει, ὅμως οὐκ ἐπίστευον αὐτῷ, ἀλλ᾽ ὑποψία[1] αὐτοῖς ἦν, ὅτι Τισσαφέρνης αὐτοὺς διαφθείρει. Διὰ δὲ τοῦτο Κλέαρχος ἐβούλετο εἰς λόγους ἔρχεσθαι[2] Τισσαφέρνει, ἵνα τὰς πρὸς ἀλλήλους ὑποψίας παύσειε, καὶ ἔπεμψέ τινα ἀγγελοῦντα, ὅτι εἰς λόγους ἔρχεσθαι αὐτῷ βούλοιτο. Ὁ δὲ ἑτοίμως ἐκέλευσεν ἥκειν.

---

1) benachbart. 2) gemäßigt. 3) auswirken. 4) streitig machen. 5) obgleich. 6) dagegen sprechen.

1) Verdacht. 2) zur Unterredung mit jemand kommen.

Ἐνταῦθα ὁ Κλέαρχος λέγει τάδε· Οὐκ ὀρθῶς, ὦ Τισσάφερνες, ἀπιστεῖς[3] τοῖς Ἕλλησι, φοβουμένοις τε τὴν τῶν θεῶν τιμωρίαν, ἐὰν τῶν ὅρκων ἀμελῶσι, καὶ νομίζουσι, σὲ ἡμῖν ἐν τοιούτοις πράγμασιν οὖσι μέγιστον ἀγαθὸν εἶναι· ἀλλὰ μεγάλη προθυμία ἐστὶν ἡμῖν ποιεῖν, ἃ ἂν βούλησθε· ἡμεῖς γὰρ δυναίμεθα ἂν τοὺς Μυσοὺς καὶ τοὺς Πισίδας, οἳ ὑμῖν λυπηροί εἰσι, νικῆσαι ἢ τοὺς Αἰγυπτίους, οἷς μάλιστα νῦν ὀργίζεσθε, κολάσαι. Τισσαφέρνης δὲ ὧδε ἀπεκρίνατο· Πρῶτον μὲν οὖν ἥδομαι[4] ἀκούων σου φρονίμους[5] λόγους καὶ ἐπαινῶ[6] τὴν ὑμετέραν περὶ ἡμᾶς προθυμίαν· ἀλλ᾽ οὐδ᾽ ὑμεῖς δικαίως οὔτε βασιλεῖ οὔτ᾽ ἐμοὶ ἀπιστεῖτε· πολλῶν γὰρ ἄλλων πόρων[7] ἡμῖν ὑπαρχόντων[8] εἰς τὸ διαφθεῖραι ὑμᾶς, πῶς ἂν τοῦτον αἱροίμεθα[9], ὃς μόνος μὲν πρὸς τῶν θεῶν ἀσεβής, μόνος δὲ πρὸς τῶν ἀνθρώπων αἰσχρός; Κλέαρχος δὲ ταῦτα ἀκούσας ἐνόμιζεν, αὐτὸν ἀληθῆ λέγειν. Καὶ ἐγὼ μέν, ἔφη ὁ Τισσαφέρνης, εἰ βούλεσθε οἵ τε στρατηγοὶ καὶ οἱ λοχαγοὶ εἰς λόγους μοι ἔρχεσθαι, δηλώσω τοὺς πρὸς ἐμὲ λέγοντας, ὡς σὺ ἐπιβουλεύεις ἐμοί τε καὶ τῇ σὺν ἐμοὶ στρατιᾷ. Ἐγὼ δέ, ἔφη ὁ Κλέαρχος, ἄξω πάντας καὶ δηλώσω σοι, ὁπόθεν ἐγὼ περὶ σοῦ ἀκούω.

15.

Τῇ δὲ ὑστεραίᾳ ὁ Κλέαρχος ἐπὶ τὸ στρατόπεδον ἥκων ἀπήγγειλεν, ἃ ἔλεγεν ἐκεῖνος, καὶ ἔπεισε πέντε μὲν στρατηγούς, εἴκοσι δὲ λοχαγοὺς αὐτῷ ἀκολουθῆσαι παρὰ Τισσαφέρνην. Ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς Τισσαφέρνους θύραις, οἱ μὲν στρατηγοὶ παρακαλοῦνται[1] εἰς τὴν σκηνήν, οἱ δὲ λοχαγοὶ ἐπὶ ταῖς θύραις μένουσι. Μετ᾽ ὀλίγον δὲ χρόνον ἀπὸ τοῦ αὐτοῦ σημείου οἱ μὲν ἔνδον συλλαμβάνονται[2], οἱ δὲ ἔξω κατακόπτονται[3]. Μετὰ δὲ ταῦτα τῶν βαρβάρων τινὲς ἱππέων, διὰ τοῦ πεδίου ἐλαύνοντες[4], ᾧτινι ἀπαντῷεν Ἕλληνι ἢ δούλῳ ἢ ἐλευθέρῳ, πάντας ἔκτεινον. Οἱ δὲ Ἕλληνες τὴν ἱππασίαν[5] αὐτῶν ἐκ τοῦ στρατοπέδου ὁρῶντες ἐθαύμαζον, ὅ,τι ἐποίουν, πρὶν Νίκαρχος Ἀρκὰς ἧκε φεύγων καὶ πάντα τὰ πεπραγμένα ἀπήγγειλεν. Ἐκ δὲ τούτου οἱ Ἕλληνες ὡπλίζοντο πάντες τεταραγμένοι καὶ νομίζοντες, αὐτίκα ἥξειν αὐ-

---

3) mißtrauen. 4) sich freuen. 5) verständig. 6) loben. 7) πόρος das Mittel. 8) zu Gebote stehen. 9) αἱρεῖσθαι wählen.

1) herbeirufen. 2) festnehmen. 3) niedermetzeln. 4) reiten. 5) das Reiten.

τοὺς ἐπὶ τὸ στρατόπεδον. Οἱ δὲ πάντες μὲν οὐχ ἧκον, Ἀριαῖος δὲ καὶ Ἀρτάοζος καὶ Μιθριδάτης, οἳ ἦσαν Κύρῳ πιστότατοι· αὐτοῖς δὲ ἠκολούθουν καὶ ἄλλοι Περσῶν εἰς[6] *τριακοσίους. Οὗτοι δέ, ἐπεὶ ἐγγὺς ἦσαν, εἰς λόγους αὐτοῖς ἔρχεσθαι ἐκέλευσαν, εἴ τις εἴη τῶν Ἑλλήνων ἢ στρατηγὸς ἢ λοχαγός, ἵνα ἀπαγγείλειαν τὰ παρὰ βασιλέως. Μετὰ ταῦτα ἐξέρχονται*[7] *φυλαττόμενοι τῶν Ἑλλήνων στρατηγοὶ μὲν Κλεάνωρ Ὀρχομένιος καὶ Σοφαίνετος Στυμφάλιος, σὺν αὐτοῖς δὲ Ξενοφῶν Ἀθηναῖος. Πρὸς δὲ τούτους Ἀριαῖος ἔλεξε τάδε· Κλέαρχος μέν, ὦ ἄνδρες Ἕλληνες, ἐπεὶ τὰς σπονδὰς ἔλυσεν, ἔχει τὴν δίκην καὶ ἐτελεύτησε, Πρόξενος δὲ καὶ Μένων, ὅτι κατήγγειλαν*[8] *αὐτοῦ τὴν ἐπιβουλήν, ἐν μεγάλῃ τιμῇ εἰσιν· ὑμᾶς δὲ βασιλεὺς τὰ ὅπλα αἰτεῖ· λέγει γάρ, τὰ ὅπλα αὑτοῦ εἶναι, ἐπεὶ Κύρου ἦσαν, τοῦ δούλου βασιλέως. Πρὸς δὲ ταῦτα Ξενοφῶν ἔλεξε τάδε· Κλέαρχος μὲν οὖν, εἰ ἔλυσε τὰς σπονδάς, τὴν δίκην ἔχει· Πρόξενον δὲ καὶ Μένωνα, ἐπεί εἰσιν ὑμέτεροι μὲν εὐεργέται, ἡμέτεροι δὲ στρατηγοί, πέμψατε δεῦρο*[9]*· δῆλον γάρ, ὅτι φίλοι ὄντες ἀμφοτέροις πειράσονται καὶ ὑμῖν καὶ ἡμῖν τὰ βέλτιστα συμβουλεύειν. Πρὸς δὲ ταῦτα οἱ βάρβαροι οὐδὲν ἀποκρινάμενοι ἀπήλαυνον*[10].

Dreizehnter Abschnitt.

Verba auf *μι*.

1. *ἱστάναι*.

1. In jedem Staate werden Richter eingesetzt[1], damit diejenigen, welche (Part.) unrecht thun, bestraft werden (Aor.). 2. Dēlos war vor alters[2] eine umherirrende[3] Insel; als (Part.) aber Poseidon gerufen hatte: Stehe (Aor.), o Insel, stand die Insel. 3. Mardonios, der Anführer der Perser, bewog[4] einige von den im Peloponnes (gelege-

6) gegen (ungefähr). 7) herauskommen. 8) anzeigen. 9) hierher. 10) fortreiten.

1) *καθιστάναι*. 2) *πάλαι*. 3) *πλανᾶσθαι*. 4) *ἀφιστάναι τινά τινος*.

nen) Städten zum Abfall [4] von der Bundesgenossenschaft der Griechen; die Städte aber, welche abgefallen waren, sind, nachdem der Krieg beendigt [5] worden war, von den Lacedämoniern bestraft worden. 4. Es geziemt [6] denen, welche (Part.) dem Staate vorstehen [7], immer die Gesetze zu beobachten; denn wenn (*ἐάν*) die Vorsteher (Part. Perf.) des Staates die Gesetze nicht (*μή*) beobachten (Aor.), werden auch die übrigen Bürger nicht den Gesetzen treu bleiben [8]. 5. Als der Peloponnesische Krieg beendigt [5] war, wurden in den meisten Staaten Griechenlands Oligarchieen [9] eingerichtet [1] (Imperf.), in Athen aber wurden dreißig Männer eingesetzt [1] (Aor.), welche dem Staate vorstanden [7]. 6. Die Athener errichteten [10] dem Dēmētrios 300 Bildsäulen [11] und verwandelten [12] dadurch (so) die Ehre der Bildsäule in Schande. 7. Diejenigen, welche (Part.) in die Herrschaft eingesetzt [1] sind, sollen die Geschäfte [13] des Staates [13] gut besorgen [14]. 8. Nachdem Dareios gestorben und Artaxerxes zur Herrschaft gekommen [15] war, verleumdete Tissaphernes den Kyros bei (*πρός* mit Acc.) seinem Bruder, indem er sagte, daß jener ihm nachstelle. 9. Als die Volksversammlung berufen [1] war, trat der Redner Demosthenes auf [16] (Part.) und riet seinen Mitbürgern (Bürgern), den Olynthiern auf das schnellste zu Hilfe zu eilen, damit nicht (*μή*) Philippus, der König der Macedonier, diese Stadt in seine Gewalt [17] bekomme [17] (Opt.). 10. Herakleitos sagt, daß alles aus Feuer bestehe [18] und in dieses sich auflöse [19].

2. *τιθέναι.*

1. Solon hat den Athenern, Lykurgus den Spartanern gute und nützliche Gesetze gegeben [1]. 2. Die Griechen haben in Delphi dem Apollo viele Weihgeschenke aufgestellt [2], um sich die Gunst [3] desselben zu erwerben (Part. Fut.). 3. Wer würde (Opt. mit *ἄν*) nicht dem Verräter des Vaterlandes die größte Strafe auferlegen [4] (Aor.)?

---

5) *καταλύειν*. 6) *πρέπει*. 7) *προϊστάναι τινός*. 8) *ἐμμένειν τινί*. 9) *ὀλιγαρχία* 10) *ἀνίστασθαι*. 11) *ἀνδριάς, άντος, ὁ*. 12) *μεθιστάναι*. 13) *τὰ τῆς π.* 14) *πράττειν*. 15) *καθίστασθαι* (Med.) *εἰς*. 16) *ἀνιστάναι*. 17) *ὑφ᾽ ἑαυτῷ ποιεῖσθαι*. 18) *συνιστάναι*. 19) *ἀναλύειν*.

1) *τίθεσθαι*. 2) *ἀνατιθέναι*. 3) *εὔνοια*. 4) *ἐπιτιθέναι*.

4) Odysseus hat oft sein Leben (Seele) auf das Spiel gesetzt[5] für die Rettung seiner Gefährten. 5. Agesilaus setzte, da er das Heer üben wollte, Kampfpreise aus[6] sowohl für die Reiter als für die Schwerbewaffneten. 6. Es ziemt[7] den Richtern gerecht (als gerechte) ihre Stimmen[8] abzugeben[1]; denn wenn (*ἐάν*) sie ihre Stimmen ungerecht (als ungerechte) abgegeben haben werden (Aor.), werden sie dem Staate (Acc.) unrecht thun, die übrigen Bürger aber werden ihnen, da (Part.) sie meineidig geworden[9] sind, nicht mehr vertrauen. 7. Nachdem (Part.) der Feldherr das Heer in Schlachtordnung[10] aufgestellt[10] hatte, griff er die Feinde an[11]. 8. Parmĕnion riet dem Alexander, die Perser bei Nacht[12] anzugreifen[11] (Aor.), denn er werde sie unvorbereitet[13] und verwirrt[14] angreifen. 9. Als die Lacedämonier die Messenier besiegt hatten, weihten[2] sie von (*ἀπό*) der Beute[15] in Amyklä dem Gott eherne[16] Dreifüße. 10. Nachdem Achilleus den Leichnam (Toten) seines Gefährten Patroklus verbrannt[17] hatte, veranstaltete[18] er Wettkämpfe und setzte[6] mannigfache Kampfpreise für die Sieger (Siegenden) aus. 11. Nachdem die Athener die Perser bei Marathon besiegt hatten, richteten sie ein Siegesdenkmal auf[18] zur (*εἰς*) Erinnerung an den so (sehr) berühmten[19] Sieg, welchen sie daselbst erfochten (gesiegt) hatten. 12. Die Schlacht bei Marathon war der Anfang der Rettung für die Griechen, die Seeschlacht bei Salamis aber setzte[20] der Gefahr, in welche die Perserkriege[21] die Griechen gebracht[18] hatten, ein Ende.

3. *διδόναι*.

1. Hēsiodus sagt, daß die Götter den Menschen nichts Gutes (des Guten) geben ohne (*ἄνευ* mit Gen.) Anstrengung und Sorge (Sorgfalt). 2. Die Athener gaben (Imperf.) denjenigen, welche (Part.) in den olympischen Spielen[1] gesiegt[1] hatten, fünfhundert Drachmen[2].

---

5) *παρατίθεσθαι.* 6) *προτιθέναι.* 7) *πρέπει.* 8) *ψῆφος.* 9) *ἐπιορκεῖν.* 10) *διατάττειν.* 11) *ἐπιτίθεσθαί τινι.* 12) *νύκτωρ.* 13) *ἀπαράσκευος.* 14) *ταράσσειν.* 15) *τὰ λάφυρα.* 16) *χάλκεος* (*χαλκοῦς*). 17) *καταφλέγειν.* 18) *ἵστασθαι* (Aor. Med.) 19) *ἔνδοξος.* 20) *ἐπιτιθέναι.* 21) *τὰ Μηδικά.*

1) *Ὀλύμπια νικᾶν.* 2) *δραχμή.*

